ἄοικος ἀντὶ τῦ ἀοίκητος Λυκῦργος κατὰ Λυκόφρονος.

ἀντεπιτίθησιν ἀντὶ τῦ ἀντεπιςέλλει Ἰσαῖος ἐν τῷ πρὸς Καλλιππίδην.

Ἀντιάταις τοῖς ἀπὸ Ἀντίῦ πόλεως, ἥτις ἀπέχει Ῥώμης τ' ςαδίυς.

ἀντιβληθέντας ἀντὶ τῦ ὑπαγορευθέντας Δείναρχος ἐν τῇ κατὰ Πυθέῦ εἰσαγγελίᾳ.

1. ἀνθία B. E ἄνθεια ὄνομα ἑταίρας. τινὲς δὲ ἀντὶ τῦ διὰ τῦ θ διὰ τῦ τ ἄντεια γράφυσιν :– ἑτέρα A. ὅτι μήποτε ἄντια BC. 3. Ἀνθεμόκριτος ἀθηναῖος μὲν ἦν κῆρυξ, ἀπεσφάγη δὲ ὑπὸ μεγαρέων E. τό om B, τό τε βαλανεῖον om C. 4. παρ'] παρ' ἀνδριάντα B. Ἀνθεμοκρίτῦ post ἀνδριάντα C. ἀνδριάντα]. ἀνδριτάτῦ F. τυτέςι — πύλαις om C. 5. θρασείαις ABF: correxit Valesius. 6. ταῖν θεαῖν om DE. 7. ὀργάδα C. ἐργάζεσθαι DE. 8. ἀνθεμὺς C. ἀνθέμυς πόλις ἐςὶ μακεδονική :– E. αὐτῦ BCF. 9. ὁ ή μὴν N. ὗτος] ἐςι E. διονύσῦ. κεκλῆσθαι δὲ αὐτὸν ὕτω διὰ — E. 11. ἐκ τῆς γῆς BCF. ἄνθη F. 12 — 13. om C. 12. ἀθήνη A. Λ. — γνήσιος om E. τὴν om BF. 14. ἀνθυπομόσαι E. ὑπειπεῖν E, ἀπεῖπον BCG: an ἀντεῖπον? ὕτως δημοσθένης :– E. 15. ἐν τῷ κατὰ B. ὀλυμπιόδωρον A, λυμπιόδωρον F. § 25. 16. ἀνίδρυτο δημ. — ἀρις. ἀντὶ τῦ ἀνεξίλαςο :– E. 1 52. 18. ὕτω λυκῦργος :– E. 19. ὕτως ἰσαῖος :– E. 20. καλλιπέδην F. 21. ἀντιάτας τὺς E. ἣ DE. 23. ἀντιβληθέντος ἀντὶ τῦ ὑπαγορευθέντος δείναρχος λέγει :– E. 24. πυθίῦ B, πυθία C.

Ἀντιγενίδας· Λυσίας ἐν τῷ πρὸς Νίκαρχον τὸν αὐλητήν, εἰ γνήσιος. υἱὸς ἦν ὗτος Διονυσίȣ, ἐνδοξότατος αὐλητής.

ἀντιγραφεὺς ὁ καθιςάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥςε ἀντιγράφεσθαι ταῦτα· Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος ϗ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. διττοὶ δὲ ἦσαν ἀντιγραφεῖς, ὁ μὲν τῆς διοικήσεως, ὥς φησι Φιλόχορος, ὁ δὲ τῆς βȣλῆς, ὡς Ἀριςοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

ἀντιγραφή. ἰδίως μὲν ἐπὶ ταῖς τῶν κλήρων διαδικασίαις ἀντιγραφὴ καλεῖται, ὅταν τις ὡς ἄπαιδος ὄντος τȣ̃ τετελευτηκότος ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον κατὰ γένος ἢ δόσιν. κοινῶς δ' ἐν ταῖς δίκαις ταῖς δημοσίαις τὰ τῶν δικαζομένων γράμματα, ἃ ἐδίδοσαν περὶ τȣ̃ πράγματος, ϗ τὰ τȣ̃ διώκοντος ϗ τὰ τȣ̃ φεύγοντος, ἀντιγραφή, ϗ τὰ μαρτύρια· Δημοσθένης κατὰ Στεφάνȣ ϗ Ὑπερίδης. Πλάτων δὲ ἐν τῇ Σωκράτȣς ἀπολογίᾳ τὸ αὐτὸ καλεῖ ἀντωμοσίαν ϗ ἀντιγραφήν.

ἀντίθεσις· Ἰσοκράτης Παναθηναϊκῷ. σχῆμα λέξεώς ἐςιν ἡ ἀντίθεσις, καθ' ἣν ἀντιτιθέασιν ἀλλήλοις τὰ ἐναντία ἤτοι κατὰ μέρος ἢ ἀθρόα. ϗ κατὰ μέρος μέν, ὡς Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος "ἐδίδασκες γράμματα, ἐγὼ δ' ἐφοίτων" ϗ τὰ ἑξῆς. ἀθρόως δὲ πάντων πρὸς πάντα, ὡς ὁ αὐτὸς Δημοσθένης ἐν τῷ κατὰ Μειδίȣ ἀπὸ τȣ̃ "ὁ μέν γε ὑπὸ φίλȣ" ἕως τȣ̃ "βαδίζειν χορηγȣ̃ντι." λέγεται δὲ ϗ ἀντίθετον τὸ αὐτὸ σχῆμα, ὡς Αἰσχίνης ἐν τῇ περὶ τῆς πρεσβείας ἀπολογίᾳ.

1. ἀντιγενίδας ἐνδοξότατος γέγονεν αὐλητής, υἱὸς διονυσίȣ :– E. 2. ὗτος ἦν AB. ἀθλητής D. 3. καταβαλόντων A. 4. χρήματα τῇ πόλει C. αὐτά. ὅτω δημοσθένης DE. 5. § 70. καὶ] ἀλλὰ καὶ E. § 25. 6. ἀντιγραφεῖς om E. ὥς φ. φιλ. om E. 7. βȣλῆς :– E. 9. ἀντιγραφὴ καλεῖται om E. 11. ἑαυτῷ] ὡς αὐτῷ C. κλῆρον. ἐπὶ τῶν τοιȣ́των λέγεται ἡ ἀντιγραφή. κοινῶς δὲ τὰ ἐν ταῖς δημοσίαις δίκαις τῶν δικαζομένων γράμματα. καὶ λέγεται ὁμοίως τά τε τȣ̃ διώκοντος καὶ τὰ τȣ̃ φεύγοντος ἀντιγραφή. λέγεται δὲ ὅτως καὶ τὰ μαρτύρια. πλάτων μέντοι ἐν τῇ σ. ἀπ. ἀντωμοσίαν καὶ ἀντιγραφὴν τὸ αὐτὸ λέγει :– DE. γένος ἢ Valesius: codices γένȣς. 14. μαρτ.] cf. Process. Att. p. 629. 15. κατὰ] ὑπὲρ τȣ̃ BC. 1 46. 16. p. 92 8 et 104 2 coll. 110 16. ἀντωνομασίαν C. καὶ om F. 17. Ἰσ. Π. om E, qui 19. ἀθρόα. οὕτως ἰσοκράτης ἐν τῷ παναθηναϊκῷ :– § 2. λέξεών N. ἡ ἀντίθεσις om BCEF. 18. ἤτοι] ἢ E. 19. ἀθρόον C. κατὰ CF. 20. § 265. ἐδίδασκε ABF. δ' om F. 21. ἀθρόον ABCFM, ἀθρόα N. ὁ om ABCF. 22. § 73 et 74. 23. φίλȣ ἕως Gronovius, φυλέως N, φιλέως ABCFG. τȣ̃ ego addidi. δὲ om BCF. 24. τῇ παραπρεσβείας C, τῇ περὶ τῆς παραπρεσβείας B. § 4.

Ἀντίκυρα· Λυσίας ἐν τῷ πρὸς Μέδοντα. μήποτ' ἐπώνυμόν ἐϛιν. Ἀντιφάνης ἐν τῷ περὶ τῶν ἑταιρῶν φησὶν "Ἀντίκυραν δ' ἐκάλεσαν ὅτι συνέπινε παρακινȣ̃σι ϗ μεμηνόσιν." οἱ δὲ ὅτι ἰατρὸς αὐτῇ Νικόϛρατος κατέλιπεν ἀποθνήσκων πολὺν ἐλλέβορον.

Ἀντιοχὶς ὄνομα φυλῆς.

Ἀντιφῶν εἷς τῶν ι' ῥητόρων, Σωφίλȣ μὲν υἱός, ἀπὸ τῆς φυλῆς δὲ Ῥαμνȣ́σιος.

Ἀντίπατρος Ἰολάȣ παῖς.

Ἄντισσα· Δημοσθένης ἐν τῷ κατ' Ἀριϛοκράτȣς. μία πόλις τῶν ἐν Λέσβῳ.

Ἀντρῶνες πόλις ἐν Θετταλίᾳ· Δημοσθένης Φιλιππικῷ.

ἀντωμοσία. γράμματά τινα γράψαντες ἀποφέρȣσι πρὸς τὴν ἀρχὴν οἵ τε κατηγορȣ̃ντες ϗ οἱ κατηγορȣ́μενοι, περὶ ὧν ἂν ᾖ δίκη. καλεῖται δὲ ȣ̂τως, ἐπειδὴ ἀντώμνυον οἱ διώκοντες ϗ οἱ φεύγοντες, οἱ μὲν ἀληθῆ κατηγορήσειν, οἱ δὲ ἀληθῆ ἀπολογήσεσθαι.

ἀνωρθίαζον ἀντὶ τȣ̃ ὄρθιον βοῶντες ἔλεγον· Ἀνδοκίδης. Ὅμηρος "ἔνθα ϛᾶσ' ἤϋσε θεὰ μέγα τε δεινόν τε ὄρθι' Ἀχαιοῖσιν, μέγα δὲ σθένος ἔμβαλ' ἑκάϛῳ καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι."

1. Ἀντίκυρα ὄνομα χώρας τινός :– E. 2. ἀριϛοφάνης ABCFM: correxit Maussacus. τῶν om A. ἑταίρων BF. 3. ὅτι om F. 4. ἐλέβορον C. 7—8. om E. 7. ιβ F. σοφίλȣ A, φιλοσόφȣ BCF. τῆς φυλῆς] τȣ̃ δήμȣ? 8. ἀμνούσιος ABCF. 9. Ἰολάου Maussacus, A ἰούλου. ceteri totum versum om. 10. Δ. — Ἀρ. om E. § 132. 12. θετταλίαι :– E. Phil. 4 9. post 12. K ἄντικρυς ἀντὶ τȣ̃ φανερῶς. Δημοσθένης "καὶ ἄντικρυς ἦν τοῖς ὁμοφύλοις ἐχθρός." παρὰ δὲ ἀλεξάνδρῳ καὶ χωρὶς τȣ̃ σ εἴρηται "ἄντικρυ δ' ἀπόφημι." ποιητικὸν δέ· τὸ γὰρ χωρὶς τȣ̃ σ τοπικόν ἐϛιν. ἀνακῶς ἀντὶ τȣ̃ ἀσφαλῶς παρὰ πλάτωνι τῷ κωμικῷ "καὶ τὰς θύρας ἀνακῶς ἔχειν." ἀναλέγοντες ἀντὶ τȣ̃ ἀπαγορεύοντες παρὰ θȣκυδίδῃ. 13. γράψαντες περὶ ὧν ἡ δίκη ὅ τε κατηγορȣ́μενος καὶ ὁ κατηγορῶν ἀποφέρȣσι πρὸς τὴν ἀρχήν. καλεῖται δὲ ȣ̂τως ἐπειδὴ ἑκάτερος αὐτῶν ἀντώμνυεν, ὁ μὲν τἀληθῆ κατ. ὁ δὲ τἀληθῆ ἀπολ. DE. 15. οἱ] καὶ οἱ C. 16. ἀπολογήσασθαι codices. 18. Ἀνδοκίδης post ἔλεγον D, ante ἀντὶ C, om ABF. de myst. 29. ὄρθιοι DE. ἐγέλων A. ἔλεγον :– E. 19. Il. 11 10. ἤϋτε B, ἠΰτε F. τε ante δεινόν om A. τε] τ' εσ BF. ἀχαιȣ̃σ' ἰδὲ μέγα σθένος F. δὲ μέγα etiam A. 20 et 21. om C. 20. κραδίῃ AF. ἄληκτον ABF.

ἀξιοῖ ἀντὶ τῦ νομίζει Ἀντιφῶν ὑπὲρ τῆς εἰς τὸν ἐλεύθερον παῖδα.

Ἀξίοχος. Αἰσχίνῃ τῷ Σωκρατικῷ διάλογος ἐγράφη Ἀξίοχος καλέμενος.

ἄξονι. οἱ Σόλωνος νόμοι ἐν ξυλίνοις ἦσαν ἄξοσι γεγραμμένοι· Δημοσθένης ἐν τῷ κατ' Ἀριςοκράτες "ὡς ἐν τῷ ἄξονι εἴρηται." ἦσαν δέ, ὥς φησι Πολέμων ἐν τοῖς πρὸς Ἐρατοσθένην, τετράγωνοι τὸ σχῆμα, διασώζονται δὲ ἐν τῷ πρυτανείῳ, γεγραμμένοι κατὰ πάντα τὰ μέρη. ποιῦσι δ' ἐνίοτε φαντασίαν τρίγωνον, ὅταν ἐπὶ τὸ ςενὸν κλιθῶσι τῆς γωνίας.

ἄοπτα ἀντὶ τῦ ἀόρατα καὶ ὐκ ὀφθέντα ἀλλὰ δόξαντα ὁρᾶσθαι Ἀντιφῶν Ἀληθείας α'.

ἄπαγε ἀντὶ τῦ ἀπαγωγῇ χρῶ· ἀπαγωγὴ δὲ εἶδός ἐςι δίκης· Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. ὠνόμαςαι δὲ ἀπὸ τῦ ἀπάγειν, ἀπάγεσθαι δ' ἐπὶ τῶν κακύργων. ἀπήγοντο δὲ πρὸς τὺς ια'.

ἀπαγορεύειν ἀντὶ τῦ κάμνειν καὶ ἀδυνάτως ἔχειν Λυσίας ἐρωτικῷ.

ἀπαθῆ ἀντὶ τῦ τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη Ἀντιφῶν Ἀληθείας α'.

ἀπαριθμῶν ἀντὶ τῦ ἀποπληρῶν ἀριθμὸν Ἰσοκράτης Φιλίππῳ.

1. ἀξιοῖ ἀντιφῶν καὶ λυσίας ἀντὶ τῦ νομίζει :– DE. 2. post παῖδα Goesiana ὕβρεως. post 2. K ἀντιπελαργεῖν καὶ ἀντιπελάργωσις ἐπὶ τῶν ἐπιςαμένων χάριν ὑφ' ὧν εὖ ἔπαθον καὶ ἀντιδιδόντων, διὰ τὴν τῶν πελαργῶν πρὸς τὺς ἑαυτῶν πατέρας γεγηρακότας ἀντίδοσιν τῆς γεννήσεως αὐτῶν καὶ ἀνατροφῆς. ἀντρώνειος ὄνος παρὰ φερεκράτῃ· ἔςι δὲ παροιμία λεγομένη ἐπὶ τῶν μεγάλων μὲν ὄντων ἀνοήτων δέ. 5. ἄξονοι A. οἱ] οἱ τῦ D. ἐν add DE. ἄξοσιν ἦσαν BC. 6. om E. § 28. ἕως ABF. 7. ὡς — Ἐρ. om E. ἐρατοσθένη A. 8. σχῆμα. μέμνηται δὲ τῆς λέξεως δημοσθένης ἐν τῷ κατὰ ἀριςοκράτυς E. 9. κατὰ πάντα Valesius: codices καὶ ἅπαντα. τριγώνων Salmasius. 10. τεθῶσι BCFG. post 10. K ἄξιός φαμεν λόγυ καὶ ἄξιος ἐπαίνυ. ἤδη δὲ καὶ ἀντὶ τῦ εἰπεῖν ἔκκριτον καὶ λυσιτελὲς ἄξιον ἀττικοὶ λέγυσιν, οἷον τὸ ἄξιον ἐπριάμην. 11. ἄοπτα ἀντιφῶν ἀντὶ τῦ ἀόρατα καὶ ὐκ ὀφθέντα μὲν δόξαντα δὲ ὁρᾶσθαι DE. ἀντὶ τῦ] τὰ B. 12. α] πρώτη BC, om A. 13. χρῶ τῇ ἀπαγωγῇ. ὕτω δημοσθένης ἐν τῷ κατὰ ἀνδροτίωνος. ἔςιν δὲ δίκης εἶδος :– E. 14. § 1. ὠνομάσθαι ADF. 15. ἀπάγεσθαι – πρὸς] ἀπήγοντο δὲ οἱ κακῦργοι πρὸς D. 16. ἀπαγορεύει ἀντὶ τῦ κάμνει καὶ ἀδυνάτως ἔχει. D. 17. ἐν ἐρ. ABFM, ἐρωτικοῖς Spengel. Συναγ. τεχν. p. 124. post ἔχειν E ἀπαγωγὴ δίκης ἐςὶν εἶδος. ὠνόμαςαι δὲ ἀπὸ τοῦ ἀπάγειν. ἀπήγοντο δὲ οἱ κακῦργοι πρὸς τὺς ια :– 18. ἀπαθη ἀντιφῶν τὰ — πάθη :– E. 20. Φιλίππῳ om E. § 27.

ἀπαρτιλογία Λυσίας ἐν τῷ πρὸς Ἀρίσανδρον ϗ Ἡρόδοτος ἀντὶ τȣ̃ ἀπηρτισμένος ϗ πλήρης ἀριθμός.

Ἀπατȣ́ρια Δημοσθένης ἐν τῷ πρὸς Βοιωτόν. ἑορτή ἐςι παρ' Ἀθηναίοις, ἣν ἄγȣσι Πυανεψιῶνι ἐφ' ἡμέρας δ', ὥς φασιν οἱ τὰ περὶ ἑορτῶν γράψαντες. πόθεν δ' ἐκλήθη, ἄλλοι τε πολλοὶ εἰρήκασι ϗ Ἔφορος ἐν β', ὡς διὰ τὴν ὑπὲρ τῶν ὁρίων ἀπάτην γενομένην, ὅτι Ἀθηναίων πολεμέντων πρὸς Βοιωτȣ̀ς ὑπὲρ τῆς Μελανίας χώρας Μέλανθος ὁ τῶν Ἀθηναίων βασιλεὺς Ξάνθον τὸν Θηβαίων μονομαχῶν ἀπατήσας ἀπέκτεινεν.

ἀπειπεῖν ἀντὶ τȣ̃ ἀποκαμεῖν ϗ ἀδυνατῆσαι Ἀντιφῶν ἐν τῷ περὶ τȣ̃ Λινδίων φόρȣ. ϗ ἀντὶ τȣ̃ ἀπαρνήσασθαι παρὰ τῷ αὐτῷ.

ἀπεργασάμενος ἀντὶ τȣ̃ ἀποδȣ̀ς ἐκ τῶν ἔργων ὧν εἰργάσατο Ἰσαῖος ἐν τῷ πρὸς Ἀπολλόδωρον.

ἀπεσχοινισμένος Δημοσθένης ἐν τῷ κατ' Ἀριςογείτονος α' ἀντὶ τȣ̃ ἀποκεκλεισμένος· ὅταν γδ ἡ βȣλὴ περισχοινίσηται, ὡς αὐτός φησι, τότε οἱ ἄλλοι πάντες εἰσὶν ἀπεσχοινισμένοι.

ἀπηλοημένος ὁ ἀπὸ τῆς ἅλω συγκεκομισμένος μετὰ τὸ ἀλοηθῆναι, ὅ ἐςι πατηθῆναι· Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον.

ἀπήχεια ἀντὶ τȣ̃ ἀπέχθεια Λυσίας πρὸς Μέδοντα ϗ Δείναρχος κατὰ Κηφισοκλέȣς.

ἀπίλλειν. Λυσίας ἐν τῇ κατὰ Θεομνήςȣ, εἰ γνήσιος, "ἀποκλείειν νομίζεται."

1. ἀντιλογία BCF, ἀπάρτηλογία E. is ἀπ. ἀντὶ τȣ̃ — ἀριθμός. ȣ̃τω λυσίας καὶ ἡρόδοτος :— 7 29. 2. ἀπαρτισμένος A. post 2. K ἀπονυχίζειν τὸ ἀφαιρεῖν τὰς ὑπεραυξήσεις τῶν ὀνύχων παρὰ μενάνδρω. δίχα δὲ τῆς προθέσεως τὸ λεπτολογεῖσθαι σημαίνει, ὃ καὶ μετὰ τῆς ἐξ λέγεται ἐξονυχίζειν. τὸ αὐτὸ δὲ καὶ τερθρείαν λέγȣσιν. 3. Δ. — B. om E. § 4. 4. πυανεψιῶνι τελȣμένη ἐπὶ ἡμέρας δ. ἐκλήθη δὲ ȣ̃τως διὰ τὴν — γενομένην τῆς μελανίας χώρας. πολεμȣ́ντων γὰρ ὑπὲρ αὐτῶν ἀθηναίων πρὸς βοιωτȣ̀ς μέλανθος — E. 6. β^ω F. cf. Marx p. 119. ὑπερορίων ἀπάτην γινομένην ὅτε C. 7. πολεμȣ́ντων τῶν ἀθ. A, ἀθ. πολ. C. 9. ξάνθωι τῶ θηβαίων E, ξάνθω τῶ θηβαίω D, ξάνθον τὸν θηβαῖον ABC, ξάνθος τὸν θηβαῖον F. post 9. ABF 21 — 22. 10. ἀδυνατῆσαι. ἔςιν δὲ ἀντὶ τȣ̃ ἀπαρνήσασθαι :— E. ἐν τῶ om BCF. 11. τῶν C. φόρον F. παρ' αὐτῶ C. 12. ἀποδȣ̀ς ἐξ ὧν εἰργάσατο. ȣ̃τως ἰσαῖος :— DE. 14. ἀπεσχοινισμένον BF. α' om F. § 28. 15. ἀποκεκλιμένος EN et corr A, ἀποκεκλημένος CF, ἀποκεκλισμένος D et pr A. 17. ἀπηλωημένος ABCF. ἀλωηθῆναι ABC, ἀλωηθῆναι F. E ἀλωθῆναι ὅ ἐςιν ἀπατηθῆναι. ȣ̃τω δ —. et ἀπατηθῆναι etiam C. 18. Δημ. om F. φίλιππον B. § 6. 19. τȣ̃ ἀπήχθεια. ȣ̃τω λύσης καὶ δείναρχος E. 21 et 22. om E. 21. θεόμνηςον ABF. 1 17. ἀποκλείει νομίζεται A.

ἀπιςεῖν ἀντὶ τῦ ἀπειθεῖν Ἀντιφῶν κατὰ Λαισποδίε, Ἰσοκράτης ἐν τῇ ἐπιςολῇ τῇ πρὸς Φίλιππον. λέγεσι δὲ ϗ *ἀπιςίαν* τὴν ἀπείθειαν, ὡς Δημοσθένης ἐν θ' Φιλιππικῶν ϗ ἄλλοι πολλοί.

ἁπλᾶς Δημοσθένης κατὰ Κόνωνος. Καλλίςρατός φησι τὰ μονόπελμα τῶν ὑποδημάτων ὅτω καλεῖσθαι. Στράττις Λημνομέδᾳ "ὑποδήματα σεαυτῷ πρίασθαι τῶν ἁπλῶν."

ἀποβάτης ϗ *ἀποβαίνειν* ϗ *ἀποβατικοὶ τροχοί.* Δείναρχος κατὰ Φορμισίε ϗ ἐν τῇ πρὸς Ἀντιφάνην ἀπολογίᾳ, Λυκῦργός τε ἐν τῇ πρὸς Δημάδην ἀπολογίᾳ. ὁ ἀποβάτης ἱππικόν τι ἀγώνισμα, ϗ ἀποβῆναι τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην, ϗ ἀποβατικοὶ τροχοὶ οἱ ἀπὸ τέτε τῦ ἀγωνίσματος. τὰ δ' ἐν αὐτῷ γινόμενα δηλοῖ Θεόφραςος ἐν τῷ κ' τῶν Νόμων. χρῶνται δέ, φησί, τέτῳ μόνοι τῶν Ἑλλήνων Ἀθηναῖοι ϗ Βοιωτοί.

ἀπογραφή. ὅταν τις λέγῃ τινὰ ἔχειν τι τῶν τῆς πόλεως, ἀπογραφὴν ποιεῖται ὁ ἐναγόμενος, δηλῶν πόθεν ἔχει τὰ χρήματα ϗ πόσα ταῦτα εἴη. μήποτε δὲ ϗ εἶδός τι δίκης ἐςὶν ἡ ἀπογραφή· εἰ γὰρ ἀρνοῖτό τις μὴ ἔχειν, ἀπογραφῆς ἐκρίνετο ὡς ὀκ ὀρθῶς γεγενημένης τῆς ἀπογραφῆς· Δημοσθένης κατ' Ἀνδροτίωνος. τί δὲ ἦν τὸ κινδύνευμα τῷ τὴν ἀπογραφὴν ποιεμένῳ, ἐν τῷ Δημοσθένες πρὸς Νικόςρατον περὶ τῶν Ἀρεθεσίε ἀνδραπόδων, εἰ γνήσιος, δῆλον γίνεται.

1. ἀντὶ τῦ] τὸ BCEF. ἀπεχθεῖν A, ἀπιθεῖν C, Ἀντ. — 2. Φίλ. om E. λαισπονδίε A, λαισπεδίε ceteri. 2. ἐπις. 12. 3. ἀπείθειαν :– CE. Phil. 3 38? 5. Δ. — Κ. om CE. κώνωνος A. § 34. τὰ] καὶ F. 6. καλεῖσθαι :– CE. ςράτις BF. λημνιμήδα B. 7. σαυτῷ ABFM. περιᾶσθαι F, περίασθαι M. 8. ἀποβαίνει BCF. ἀποβωτικοὶ A. Δείν. — 9. ἀπολογίᾳ om C, — 10. ὁ om E. 9. φορμησίε B. ἀπολλοφάνην (ἀντι) B. 10. Λυκ. — ἀπολογίᾳ om A. τε] τὸ F, om B. τε ἐν τῇ om C. ἀποβάτης μὲν ἱππικόν τι ἀγώνισμά ἐςιν E. 11. τι] τε F. 12. ἀποβατικοὶ δὲ τρ. E. ἀπὸ] ἐπὶ N. ἀγωνίσματος :– E. 13. χρῶνται — p. 27 8. om C. 15. ἀπογραφήν F. ἐπειδάν E. τι om F. τῶν om B.

16. ὁ ἐγκαλέμενος FM et post χρήματα DN, ὁ (ἐγ)καλέμενος B. ὁ ἐναγόμενος ἀπογραφὴν ποιεῖται δηλῶν ὅσα τε ἔχει καὶ ὅθεν τὰ χρήματα E. 17. μήπω A. εἶδος δίκης ἐςὶν B, εἶδός τινός ἐςι δίκης E. ἐςὶν om N. 18. τις om AFN. ἀπογραφῆς EF: vulgo ἀπογραφεύς. ἐγκρίνετο F. 19. τῆς om F. ὅτω δημοσθένης ἐν τῷ κατὰ ἀνδροτίωνος :– E. § 54 et 61. 21. δημοσθένει BF. § 1. ἀρεθεσίων A.

ἀποδέκται. ἀρχή τίς ἐςι παρ' Ἀθηναίοις οἱ ἀποδέκται, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες καὶ οἱ κωμικοί. Ἀριςοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ δεδήλωκεν ὡς δέκα τε εἴησαν, καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ· καὶ ἁπλῶς ἃ πράττουσι διασαφεῖ. ὅτι δὲ ἀντὶ τῶν κωλακρετῶν οἱ ἀποδέκται ὑπὸ Κλεισθένους ἀπεδείχθησαν, Ἀνδροτίων β'.

ἀποδιδόμενοι Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου ἀντὶ τοῦ ἀποδιδόντες. ἑξῆς δέ φησιν ἀποδιδόμεθα ἤτοι ἀντὶ τοῦ ἀποδίδομεν ἢ ἀντὶ τοῦ πιπράσκομεν.

ἀποικία. ἰδίως τὰ γράμματα καθ' ἃ ἀποικοῦσί τινες οὕτως ὠνόμασαν· Ὑπερίδης Δηλιακῷ.

ἀποικοδομεῖς ἀντὶ τοῦ ἀποφράττεις ἀπολαβών τινα οἰκοδομήματι Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα.

ἀποκηρύττοντες ἀντὶ τοῦ πιπράσκοντες Δημοσθένης κατ' Ἀριςοκράτους. Πλάτων Πρέσβεσι "σκευάρια δὴ κλέψας ἀπεκήρυξ' ἐκφέρων," ἐπώλησεν.

ἀπόκρισις ἡ ἀπολογία· Λυσίας. καὶ Δημοσθένης κατ' Αἰσχίνου "ἀπόκριναι γάρ δεῦρο παρελθών μοι." Εὔπολις Πόλεσιν "ὡς ὑμῖν ἐγὼ πάντως ἀποκρινοῦμαι πρὸς τὰ κατηγορούμενα."

ἀπολαχεῖν ἀντὶ ἁπλοῦ τοῦ λαχεῖν Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου, Λυσίας κατὰ Ποσειδίππου. Ἀριςοφάνης Ταγηνιςαῖς "οὐ μὴν ὅ γε σὸς ἀδελφὸς οὐκ ἀπελάγχανεν."

ἀπολελοιπότες ἀντὶ τοῦ νενικηκότες. ἡ μεταφορὰ ἀπὸ τῶν

1. ἀθηναίοις. δέκα δὲ ἦσαν οἱ παραλ. — δημοσίω :- E. 4. παραλαμβάνοντες A. 5. ἐναντίω F. 6. πράττουσι] γράφουσι B. 9. Ἀντ. — φόρου om E, τοῦ om N. 10. ἀποδιδόντες, καὶ ἀποδιδόμεθα ἀντὶ τοῦ ἀποδίδομεν ἢ πιπράσκομεν E. 12 et 13. om E. 12. ἡ ἀποικία F. 13. δηλιακῶν F. 14. usitatius ἀνοικοδομεῖς. Toupius. ἀπολαβὴν F. ἀπολ. τινα οἰκ. om E. οἰκοδομήματα AB. 15. § 20. 16. πιπράσκοντες. οὕτω δημοσθένης καὶ πλάτων :- E. 17. § 201. σκευάρια F. ἀπεκήρυξεν codices. 19. ἀπολογία. οὕτω λυσίας καὶ ἀντιφῶν. ἀλλὰ καὶ δημοσθένης ὁμοίως λέγει ἐν τῷ κατ' αἰσχίνου ἀπόκριναι λέγων δεῦρό μοι παρελθών :- DE. Λυσίας καὶ om C. 20. Εὔπολις — κατηγορούμενα om C, cf. Meinek. Menandri rel. p. 259. 22. ἀντὶ] ἀντὶ τοῦ BCF. ἁπλοῦ om E, qui post λαχεῖν: οὕτω λυσίας καὶ ἀριςοφάνης καὶ ἀντιφῶν :- Ἀντιφῶν — 23. Ποσειδίππου om C. 23. φιλοίνου F. ποδιδίππου F, ποδιδίπου B. οὐ] οὐκ Salmasius, om N. cf. Dobraeus Aristophan. p. (104).

δρομέων· οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ἡττωμένους. Ἰσοκράτης Παναθηναϊκῷ ϗ Πανηγυρικῷ.

Ἀπόληξις εἷς τῶν ν' συγγραφέων, ὃν Πλάτων κωμῳδεῖ ἐν Σοφισταῖς.

ἀπομάττων· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. οἱ μὲν ἁπλοϊκώτερον ἀκούουσιν ἀντὶ τοῦ ἀποψῶν ϗ λυμαινόμενος, ἄλλοι δὲ περιεργότερον, οἷον περιπλάττων τὸν πηλὸν ϗ τὰ πίτυρα τοῖς τελουμένοις, ὡς λέγομεν ἀπομάττεσθαι τὸν ἀνδριάντα πηλῷ· ἤλειφον γὰρ τῷ πηλῷ ϗ τῷ πιτύρῳ τοὺς μυουμένους, ἐκμιμούμενοι τὰ μυθολογούμενα παρ' ἐνίοις, ὡς ἄρα οἱ Τιτᾶνες τὸν Διόνυσον ἐλυμήναντο γύψῳ καταπλασάμενοι ἐπὶ τῷ μὴ γνώριμοι γενέσθαι. τοῦτο μὲν οὖν τὸ ἔθος ἐκλιπεῖν, πηλῷ δὲ ὕστερον καταπλάττεσθαι νομίμου χάριν. Σοφοκλῆς ἐν Αἰχμαλωτίσι "στρατοῦ καθαρτὴς κἀπομαγμάτων ἴδρις," ϗ πάλιν "δεινότατος ἀπομάκτης τε μεγάλων συμφορῶν."

Ἀπόλλων πατρῷος ὁ Πύθιος. προσηγορία τίς ἐστι τοῦ θεοῦ πολλῶν ϗ ἄλλων οὐσῶν. τὸν δὲ Ἀπόλλωνα κοινῶς πατρῷον τιμῶσιν Ἀθηναῖοι ἀπὸ Ἴωνος· τούτου γὰρ οἰκίσαντος τὴν Ἀττικήν, ὡς Ἀριστοτέλης φησί, τοὺς Ἀθηναίους Ἴωνας κληθῆναι ϗ Ἀπόλλω πατρῷον αὐτοῖς ὀνομασθῆναι.

ἀπόμισθοι οἱ μισθὸν μὴ λαμβάνοντες· Δημοσθένης Φιλιππικοῖς ϗ ἐν τῷ κατ' Ἀριστοκράτους.

ἀπὸ μισθωμάτων. Δίδυμός φησιν ὁ γραμματικὸς ἀντὶ τοῦ ἐκ τῶν τεμενικῶν προσόδων. ἑκάστῳ γὰρ θεῷ πλέθρα γῆς ἀπέ-

1. ἡττημένης ABC. οὕτως Ἰσ. ἐν π. E. Ἰσ. — Πανηγ. om C. 2. § 41. § 50. 3 et 4. om E. 3. ν O, νῦν A, om BCF. κωμῶν F. 4. Σοφισταῖς Iungermann. Polluc. 7 100: codices σοφιστῇ. 5. Δ. — Κτ. add DE. § 259. 6. ἁπλ. ἀκ. et καὶ λυμαινόμενος om E. 7. περιεργότερον οἷον] ἀντὶ τοῦ E. ρῖον om N. παραπλάττων C. 8. πηλῷ : – E. πηλῷ. ἤλειφον om A. 9. γὰρ add N. καὶ τῷ] τῷ τε C. 11. γύψω om F. καταπλασσόμενοι C. 12. μὲν om B. οὖν om F. ἔθνος CO. ἐκλείπειν F, ἐκλείπει BC. 13. ἀναπλάττεσθαι F. an μνημείου? αἰχμαλώτισι AF. 14. ἀπὸ πραγμάτων F. δεινότατοι BCF, om N. 15. ἀπομάκτητες μεγάλων BC. 16 — 20. om E. 17. οὐσῶν] εἰδῶν BCFH. τιμῶσιν ἀθηναῖοι κοινῶς πατρῷον C. 18. οἰκίσαντος Salmasius : codices οἰκήσαντος. 19. ἀριστοφάνης A. 20. om CG. ἀπόλλων A, ἀπόλλωνα B. πατρῷος A. αὐτοῖς om B. κληθῆναι B. 21. λαβόντες. οὕτω δημοσθένης : – F. ἐν φ. B. Phil. 1 46. 22. § 154. 23 — p. 29 2. om E. 23. ἀπὸ μισθ.] Isocrat. Areopag. 29. τοῦ] τῇ γῇ BCFG. 24. ἐκ om F. τεμνικῶν F.

νεμον, ἐξ ὧν μισθεμένων αἱ εἰς τὰς θυσίας ἐγίνοντο δαπάναι· ἐ γδ' κατ' εὐσέβειαν ἔθυον τὰ ἱερεῖα, ἀλλὰ μισθέμενοι.

ἀπονομὴ ἡ ἀπόμοιρα, ὡς μέρος τι τῶν περιγιγνομένων ἐκ τῶν μετάλλων λαμβανέσης τῆς πόλεως, ἢ ὡς διαιρεμένων εἰς πλείες μισθωτάς, ἵν' ἕκαςος λάβῃ τι μέρος· Δείναρχος ἐν τῷ πρὸς τὲς Λυκέργε παῖδας πολλάκις.

ἀποπεφασμένον ἀντὶ τε ἀποδεδειγμένον. Δημοσθένης κατὰ Νεαίρας "ἀποπεφασμένως πωλεν" ἀντὶ τε φανερῶς.

ἀποπομπάς·. Ἰσοκράτης Φιλίππῳ. ἀποπομπαῖοί τινες ἐκαλοῦντο θεοί, περὶ ὧν Ἀπολλόδωρος ἐν ϛ' περὶ θεῶν διείλεκται.

ἀπορρέξαντες ἀπομερίσαντες, ἀπόμοιράν τινα δόντες· Ἰσαῖος ἐν τῇ ὑπὲρ Νικίε συνηγορίᾳ. ἔςι δὲ κἀν τῇ κωμῳδίᾳ.

ἀπόρρητα τὰ ἀπειρημένα ἐν τοῖς νόμοις· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. τίνα δὲ ἦν ἅπερ ἀπείρητο λέγειν εἰς ἀλλήλες, δεδήλωκε Λυσίας ἐν τῷ κατὰ Θεομνήςε, εἰ γνήσιος ὁ λόγος.

ἀπορώτατος ἀντὶ τε πρὸς ὃν ἐδένα πόρον ἔςιν εὑρεῖν Ἰσαῖος ἐν τῷ ὑπὲρ τῆς Μνησιθέε θυγατρός.

ἀποσάξαντα ἀντὶ τε φράξαντα τὸ τρῆμα κ. ἀποπληρώσαντα Ἡρόδοτος ἐν ϛ'.

ἀποςασίε δίκη τίς ἐςι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιςῶνταί τε ἀπ' αὐτῶν ἢ ἕτερον ἐπιγράφωνται προςάτην, κ. ἃ κελεύεσιν οἱ νόμοι μὴ ποιῶσιν. κ. τὲς μὲν ἁλόντας δεῖ δέλες εἶναι, τὲς δὲ νικήσαντας τελέως ἤδη ἐλευθέρες. πολλάκις δ' ἐςὶ παρὰ τοῖς ῥήτορσι, πα-

1. αἱ] καὶ A. ἐγένοντο CF. 3. ἀτωνομὴ F. 4. διαιρεμένες A. 5. μισθωτὰς DE, μισθωτὲς ceteri. cf. Boeckh. de Laur. p. 122. μέρος :- E. 6. τὲς om B. 7. ἀποπεφασμένου B, ἀποφασμένον F, ἀποπεφρασμένον M. ἀποδεδ. καὶ πεφανερωμένον. ἕτω δείναρχος καὶ λυσίας (λύσης E) καὶ δημοσθένης ἐν τῷ κατὰ νεαίρας :- DE. 8. § 67. ἀποφασμένως F. 9. ἀποπομπαῖοι. θεοί τινες ἕτως ἐκαλεντο :- E. § 117 extr. 10. ἕκτη C. 12. ἀπόμοιραν δόντες :- E. 13. νικαίου C, νικαίους B, νικέους F. ὡς ἔστι C. κἀν τῇ] καὐτὴ B, καὶ αὐτὴ A. 14. νόμοις· ἕτω δημοσθένης ὑπὲρ κτησιφῶντος :- E. § 123. 15. ἅπερ] ἅτιν' B. λέγειν εἰς ἀλλήλες om C. 16. 1 § 6. 17. εὑρεῖν. ἕτως ἰσαῖος — E. 18. τῆς add E. μνησαίε E. 19. ἀντὶ] δείναρχος ἀντὶ DE. ἀποφράξαντα B, πράξαντος E: is τὸ τρῆμα :- ὑποπληρώσαντα F. 20. ἰσαῖος. ἡρόδοτος N. ϛ F. cf. Boeckh. Inscript. t. 1 p. 289 b. 22. ἐλευθερώσασιν BCG. τι BCF, om DE. αὐτῶν :- C. προςάτην ἕτερον ἐπιγράφωνται E et, qui ἀντιγράφωνται, D. 25. τελέως λοιπὸν ἐλευθέρες :- E.

ρᾳ τῷ Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστόδημον καὶ Ὑπερίδῃ ἐν τῷ κατὰ Δημητρίας ἀποστασίου. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ τοῦ πολεμάρχου γράφει ταυτί· „οὗτος δὲ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων."

ἀποστησάμενον ἀντὶ τοῦ πρὸς σταθμὸν παραλαβόντα Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον.

ἀποστολῆς οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν τριήρων ἀποδεδειγμένοι Δημοσθένης ὑπὲρ Κτησιφῶντος καὶ Φιλόχορος ἐν ζ'. ἀπόστολοι δ' εἰσὶν αἱ τῶν νεῶν ἐκπομπαί· ὁ αὐτὸς ῥήτωρ ἐν α' Φιλιππικῶν.

ἀποστροφὴν ἀντὶ τοῦ καταφυγὴν Δημοσθένης Φιλιππικοῖς.

ἀπόταξις τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους εἰς τὸ ὑποτελεῖν τὸν ὡρισμένον φόρον· Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου.

ἀποτιμηταὶ καὶ ἀποτίμημα καὶ ἀποτιμᾶν καὶ τὰ ἀπ' αὐτῶν. οἱ μισθούμενοι τοὺς τῶν ὀρφανῶν οἴκους παρὰ τοῦ ἄρχοντος ἐνέχυρα τῆς μισθώσεως παρείχοντο· ἔδει δὲ τὸν ἄρχοντα πέμπειν τινὰς ἀποτιμησομένους τὰ ἐνέχυρα. τὰ μὲν οὖν ἐνέχυρα τὰ ἀποτιμώμενα ἐλέγοντο ἀποτιμήματα, οἱ δὲ πεμπόμενοι ἐπὶ τῷ ἀποτιμήσασθαι ἀποτιμηταί, τὸ δὲ πρᾶγμα ἀποτιμᾶν. εἰώθεσαν δὲ καὶ οἱ τότε, εἰ γυναικὶ γαμουμένῃ προῖκα διδοῖεν οἱ προσήκοντες, αἰτεῖν παρὰ τοῦ ἀνδρὸς ὥσπερ ἐνέχυρόν τι τῆς προικὸς ἄξιον, οἷον οἰκίαν ἢ χωρίον. ἐλέγετο δὲ ὁ μὲν δοὺς τὸ ἀποτίμημα ἐνεργητικῶς ἀποτιμᾶν, ὁ δὲ λαβὼν ἀποτιμᾶσθαι. ὁ

1. ὑπερίδης AF. 2. δ' om B. 3. παντί A. 4. ἀποστασίου καὶ ἀποστασίου AB, ἀποστασίου καὶ ἀποσταδίου F. 6. § 52. 7. ἀποστολῆς D: ceteri ἀποστολεῖς. τριήρεων C. δεδειγμένοι F. 8. Δ. — ζ om E. § 107. καὶ om C, καὶ — 10. Φιλιππικῶν om A. ζ^{ω} F. 9. εἰσὶν om E. ἐκπομπαί. οὕτω δημοσθένης τὸ μὲν ἐν τῶ ὑπὲρ κτησιφῶντος, τὸ δὲ ἐν πρώτω φιλιππικῶν :- E. ὁ — Φ. om C. Olynth. 3 5. 11. ἀποστροφὴ ἀντὶ τοῦ καταφυγή :- E. φιλιππικῶ BCF, ἐν φιλιππικοῖς D. Phil. 1 8. 13. ὑπηρετεῖν ADEN et margo M. 14. ὑπὲρ DE. 15. καὶ τὰ ἀπ' αὐτῶν om AF. 16. τοὺς — οἴκους DE cum Boeckhio Inscript. 530: ceteri τὰς — οἰκίας. 18. πέμπειν DE, ἀποπέμπειν C, ἐπιπέμπειν ABF. τιμησομένους ADF. τὰ — 23. χωρίον] καὶ ἐλέγοντο τὰ μὲν ἐνέχυρα ἀποτιμήματα, οἱ δὲ ἀποτιμησάμενοι ἀποτιμηταί, τὸ δὲ ἔργον ἀποτιμᾶν. καὶ οἱ προῖκα γυναικὶ γαμουμένῃ διδόντες ᾔτουν παρὰ τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικὸς ἐνέχυρον οἰκίαν ἢ χωρίον ταύτης ἄξιον. 19. ἀποτιμώμενα N: ceteri ἀποτιμούμενα. ἀποτιμήματα] ἀποτιμούμενα F. τὸ B. 20. εἰώθησαν A. 21. ἀποδιδοῖεν BCG. immo ἐπιδιδοῖεν. 23. διδοὺς AD.

δ' αὐτὸς λόγος ϗ ἐπὶ τῶν ἄλλων ὀφλημάτων· Δημοσθένης ἐν τῷ κατ' Ὀνήτορος β' ϗ Λυσίας ἐν τῷ πρὸς Διογένην ὑπὲρ μισθώσεως οἴκȣ, εἰ γνήσιος.

ἀπόταφος ἀντὶ τȣ̃ ἀπεςερημένος τῶν προγονικῶν τάφων Δείναρχος ἐν τῇ κατ' Ἀγασικλέȣς εἰσαγγελίᾳ.

ἀποτειχίσαι τὸ ἀπολαβεῖν τείχει ϗ ἀποκλεῖσαι τῆς ἐξόδου, ἀποτετειχισμένος δὲ ὁ ἀπειλημμένος ϗ ἀποκεκλεισμένος τῷ τείχει· Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένȣς γραφὴν ἀπολογίᾳ ϗ Θȣκυδίδης.

ἄπο τȣ̃ πράγματος ἀντὶ τȣ̃ ἄποθεν Δημοσθένης κατ' Ἀνδροτίωνος.

ἀπόφασις τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος ὁπόσην ȣ̓σίαν ἔχει, ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιςα γίνεϑ'· Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον πολλάκις. ἅπαξ μόνον ἀπογραφὴν τὸ αὐτὸ τȣ̃το κέκληκεν.

ἀποφορὰν ἀντὶ τȣ̃ ἀπενεγκεῖν ϗ διάςημα ποιῆσαι μεταξὺ Ἰσαῖος ἐν τῷ πρὸς ὀργεῶνας, ἐν ᾧ φησὶν ȣ̃τως "εἴπερ γȣ̃ν ὥριζον ταῖς ἀποφοραῖς ταύταις τῶν ποδῶν ἀλλότριον εἶναι τὸ χωρίον."

ἀποψηφίζονται ἀντὶ τȣ̃ καταδικάζȣσιν αὐτὸν μὴ εἶναι πολίτην Δείναρχος ἐν τῷ κατ' Ἀρχεςρατίδȣ. ϗ ἀποψήφισιν δὲ τὸ πρᾶγμα λέγει Δημοσθένης ἐν τῇ πρὸς Εὐβȣλίδην ἐφέσει.

ἀπροβȣ́λευτον τὸ μὴ πρότερον εἰς τὴν βȣλὴν ἀλλ' εὐθὺς

1. ὀφειλημάτων ADEFN. ὡς καὶ δημ. — β' :- E. § 3.
4. ἀπόταφος ὁ ἀπεςερημένος — τάφων. ȣ̃τως δείναρχος :- E. 6. λαβεῖν AEF, βαλεῖν N. τείχη ABCDN, τειχίον E. καὶ] καὶ ἀποτειχίσαι καὶ E.
7. καὶ ἀποτετειχισμένος ὁ — τείχει. ȣ̃τως ἀντιφῶν καὶ θȣκυδίδης :- E.
8. τὴν om CF. δημοσθένην C, δρόμȣς F. γραφὴν ἀπολογίᾳ om ABCF.
10. ἄπωθεν A et :- DE. Timocrat. 6? 12. τὸ — 13. γίνεται post 14. Φαίνιππον E, omisso πολλάκις. 14. φίλιππον BC. πολλάκις § 1, 11, 12, 14, 17, 25, 26, 27, 28, 30. ἅπαξ § 16. ἅπαξ — κέκληκεν] καλεῖ δὲ αὐτὸ καὶ ἀπογραφήν E. 15. τὸ αὐτὸ om C. 16. ἀποφορεῖν B.
ἀντὶ] ἐπὶ AF. διάςομα ABF. 17. ȣ̃τως ἰσαῖος :- E. ὀργαιῶνα C, ὀργαίωνα BFM, ὀργαίονα A. γȣ̃ν om BC. post 19. K ἀπελεύθερος ὁ δȣ̃λος ὤν, εἶτα ἀπολυθεὶς τῆς δȣλείας, ὡς καὶ παρ' αἰσχίνῃ. ἐξελεύθερος δὲ ὁ διά τινα αἰτίαν δȣ̃λος γεγονώς, εἶτα ἀπολυθείς. ἔςι δ' ὅτε καὶ ȣ̓ διαφέρȣσιν. 20. ἀποψ. δείναρχος — ἀρχεςράτȣ. ἀντὶ τȣ̃ κατ. — πολίτην. καὶ τὸ πρᾶγμα δὲ δημοσθένης ἀποψήφισιν καλεῖ :- DE. δικάζȣσιν BCG.
21. ἀρχεςρατίδȣ Maussacus : ἀρχεςράτȣ EMO, ἀρχεκράτȣ BF, ἀρχεκράτȣς CG, ἀριςοκράτȣς A. 22. ἐν] καὶ C. τῇ] τῷ F. § 2. 23. τὴν om BF.

εἰς τὸν δῆμον εἰσφερόμενον ψήφισμα. ἐν τῷ κατ' Ἀνδροτίωνος νόμος παράκειϑ ταῦτα δηλῶν.

ἀπρόσκλητον τὴν ȣ̓ προσκεκλημένην Ὑπερίδης ἐν τῷ κατ' Ἀϑηνογένȣς β'.

ἀπροςασίȣ εἶδος δίκης κατὰ τῶν προςάτην μὴ νεμόντων μετοίκων· ᾑρεῖτο γ' ἕκαςος ἑαυτῷ τῶν πολιτῶν τινὰ προςησόμενον περὶ πάντων τῶν ἰδίων ϗ τῶν κοινῶν. Ὑπερίδης ἐν τῷ κατ' Ἀριςαγόρας ἀπροςασίȣ β'.

ἀπρότων. Δείναρχος ἐν τῷ κατὰ Πυϑέȣ "ἐμπεπηδηκότων τῶν ῥητόρων ὥσπερ ἀπρότων εἰς τὸ ἐμπόριον." μήποτε γραφικὸν ἁμάρτημα, ϗ δεῖ γράφειν "ὥσπερ ἀλησίπων." ἐν τισὶ δὲ γέγραπϑ "ὥσπερ παρνόπων·" εἰσὶ δ' οἱ πάρνοπες εἶδος ἀκρίδος.

Ἀραφήνιος· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρȣ ϗ Δημοφάνȣς. δῆμός ἐςι φυλῆς τῆς Αἰγηΐδος.

ἀργᾶς· Αἰσχίνης περὶ τῆς ἀποδόσεως. πιϑανώτερόν ἐςι λέγειν ὅτι Δωριεῖς, μάλιςα δ' Ἀργεῖοι, τὸν ὄφιν ἀργᾶν ἐκάλȣν, ὡς Ἀχαιὸς ἐν Ἀδράςῳ. Τίμαρχος δὲ ὁ Ῥόδιος ȣ̓ κατὰ γλῶτταν καλεῖσϑαι τὸν ὄφιν ἀργᾶν φησίν, ἀλλὰ γένος τι εἶναι ὄφεως τȣ̀ς ἀργᾶς· λέγεσϑαι ȣ̓ν εἰκὸς τὸν Δημοσϑένην, ἐπιτροπῆς τοῖς ἐπιτρόποις δίκας λαγχάνοντα, ὄφιν διὰ τὸ ϑηριῶδες. ϗ αὐτὸς τȣ̀ς τοιȣ́τȣς ὄφεσιν εἰκάζει ἐν τῷ κατ' Ἀριςογείτονος. ἐν μέντοι τοῖς Ἀττικιανοῖς ἐγέγραπτο "ἅρπαξ." ἔνιοι δὲ τȣ̃ δράκοντος εἶναί φασι τὸ ἀργᾶν ἐπίϑετον.

1. εἰσαχϑὲν ψήφισμα. ȣ̔́τως δημοσϑένης :- DE. § 5. 3 — 8. om C. 3. προσκεκλημένην :- E. 5. τὸν A, τῶν ȣ̓ N. μὴ νεμόντων προςάτην DE. 6. καὶ γὰρ ἕκαςος αὐτῶν ᾑρεῖτό τινα τῶν πολιτῶν τὸν προςησόμενον αὐτῷ περὶ — κοινῶν :- E. αὐτῶν etiam F. προςησάμενον AB. 8. ἀριςαγόρα F, ἀριςαγόρȣ AB. 9. πυϑαίȣ E, πυϑίȣ C. ἐκπεπηδηκότων E. 10. μήποτε — 11. ἀλησίπων om E.

11. τὸ ἁμάρτημα B. ἁμάρτημα :- C. δεῖ] ν̄ F. ἀληπίσων A, ἀληπίσων M, ἀττελάβων Gronovius. 12. ὡς A. εἰσὶ δ' οἱ] οἱ δὲ E. 13 — 14. om C. 13. ἀραφήνιος δῆμος αἰγηΐδος :- E. 15. Αἰσχ. — ὅτι om E. ἀνταποδόσεως A, ἀπολογίας Valesius. δ' ἐςὶ B. 16. καὶ μάλιςα E. καλȣ̃σιν CG. ὡς — Ἀδράςῳ om E. 17. Τιμαχίδας Maussacus. γλ. ȣ̔́τω καλ. E. 18. ἀργᾶν om B. τι om E. ὄφεων ABE. 19. ἀργάς :- E. ἐπιτροπῆς] ἐπιτρόπων BF. 20. λαγχάνοντας F. διὰ] παρὰ F. 21. 1 32. 23. τὸν ABM. ἐπίϑετον τὸ ὀργᾶν C. post 23. BCG ἀργᾶς (ἀργὰς C). ὁ δεινότατος παρ' ἡλικίαν ἀργὰς καλεῖται. ἄλλοι δὲ τὸν δεινότατον καὶ ϑηριώδη τὸν τρόπον. καὶ μάλιςα ἀργεῖοι τὸν ὄφιν ἀργᾶν ἐκάλȣν.

Ἄργουρα· Δημοσθένης κατὰ Μειδίου. ἔστι δὲ πόλις τῆς Εὐβοίας ἐν τῇ Χαλκιδικῇ κειμένη, ὡς Ἀριστοτέλης ὁ Χαλκιδεὺς ἐν τῷ περὶ Εὐβοίας.

ἀργυριοθήκη· Δείναρχος ἐν τῷ κατὰ Προξένου βλάβης. διττὰ ἦν γραμματείδια οἷς ἐχρῶντο Ἀθηναῖοι, τὰ μὲν ὥστε γράφειν μόνον τι ἐν αὐτοῖς, τὰ δὲ ὥστε καὶ ἀργυρίδιον κατατίθεσθαι, ἅπερ καὶ κιβώτια ἐκάλουν, τὰ δ᾽ ἄλλα μαρτύρια.

ἀργυρῖτις γῆ καὶ χρυσῖτις ἡ ἐργαζομένη χρυσὸν καὶ ἄργυρον.

ἀργυροκοπεῖον· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ὅπου κόπτεται τὸ νόμισμα· ὃ νῦν σημαντήριόν τινες καλοῦσιν.

Ἀργινοῦσαι νῆσοι κείμεναι ἔναντι τῆς Λέσβου, ἀπὸ Ἀργίνου τινός.

ἀργυρόπους δίφρος ὁ Ξέρξου, ὃς αἰχμάλωτος ἐπεκαλεῖτο, ἐφ᾽ οὗ καθεζόμενος ἐθεώρει τὴν ναυμαχίαν. ἀνέκειτο δὲ εἰς τὸν παρθενῶνα τῆς Ἀθηνᾶς.

Ἀργαῖος· Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριστοκράτους. περὶ τούτου καὶ Θεόπομπος ἐν τῷ α΄ τῶν Φιλιππικῶν λέγει "τὸν Ἀρχέλαον καλοῦσι καὶ Ἀργαῖον καὶ Παυσανίαν."

Ἀριοβαρζάνης. σατράπης Φρυγίας ἀποδειχθεὶς ἔτος παρὰ Ξέρξου ἀπέστη, ὃς καὶ ἀποστείλας λαὸν τοὺς πολεμήσοντας αὐτῷ καὶ χειρωσάμενος ἐσταύρωσεν.

Ἄρδηττος· Λυσίας ἐν τῷ πρὸς Λεπτίνην. τόπος Ἀθήνησιν ὑπὲρ τὸ στάδιον τὸ Παναθηναϊκόν, πρὸς τῷ δήμῳ τῷ ὑπένερ-

1. ἄργουσα EF. Δ. — δὲ om E. ἐν τῷ κατὰ BF. μηδίου F. § 132. δὲ om F. ἀργείας pr B. 2. χαλκιδῇ F. κειμένη :- E. 4. ἀργυροθήκη ADM, ἀγυρὶς θήκη E. Δ. — βλ. om E. λαβῆς BCF, περὶ λαβῆς A. 5. γραμματείδια CFN: vulgo γραμματίδια. 6. μόνον ἑαυτοῖς DE, μόνον τι ἐν ἑαυτοῖς A. ἀργύριον G. 7. ἃ DE. καὶ om B. βοιώτια N. cf. ad Polluc. 4 19. 8. om CE. 9. ἀργυροκόπιον N. Ἀντ. — ὅπου] ἐν ᾧ E. 10. σήμαντρον BCFG. τινὲς post νῦν E, om D. 11 — 12. om E. 11. ἀργινοῦσσαι C. λεύκου F. 13. ἀργυρόποδα δίφρον· ὁ ξέρξου δίφρος, ὃς αἰχμάλωτος ἐκαλεῖτο. ἀνέκειτο δὲ — E. αἰσχάλωτος A. ἐξ BCFG. 14. ἐνέκειτο C. 16 — 18. om E. 16. ἀργεῖος et 18. ἀργεῖον BC. § 121. 17. φησὶ C. Ἀρχέλαον Gronovius, Ἀρχέλεων Valck. diatr. p. 111 c, ἀγγέλαον AC, ἀγέλαον B. 18. καὶ post καλοῦσι om C. 19 — 21. om E. 19. ὑποδειχθεὶς C. 20. Ἀρταξέρξου Meierus de bon. damn. p. 55. 21. χειρωσαμένους F. 22. ἄρδητος τόπος ἐστὶν ἀθήνησιν ἐν ᾧ πάντες ἀθηναῖοι δημοσίᾳ ὤμνυον τὸν ὅρκον τὸν ἡλιαστικόν. θεόφραστος — νόμων καταλελύσθαι τὸ ἔθος τοῦτο λέγει :- E. ἄρδιττος A, ἀρδηττὸς N. ἐλπίνην BCFMO.

θεν Ἀγρυλέων. ἐν τέτῳ, φασί, δημοσίᾳ πάντες ὤμνυον Ἀθηναῖοι τὸν ὅρκον τὸν ἡλιαςικόν. ὠνομάσθη δὲ ἀπὸ Ἀρδήττου ἥρωος ἀρχαίε, ὃς Ἀθηναίες πρῶτος ἐξώρκισεν. Θεόφραςος δ' ἐν τοῖς περὶ νόμων δηλοῖ ὡς καταλέλυτο τὸ ἔθος τἕτο.

ἀρετὴ ἀντὶ τῆ εὐδόξία Θεκυδίδης ἐν α'.

Ἄρθμιος ὄνομα κύριον, δἕλός τινος βασιλέως.

Ἀριςεύς. ὄνομα καὶ τἕτο κύριον.

Ἀρίςυλλα Ἀριςογείτονος ἦν ἀδελφή.

Ἀριςίων· Ὑπερίδης κατὰ Δημοσθένες. ἔτος Σάμιος μὲν ἐςιν ἢ Πλαταιεύς, ὡς Δίυλλός φησιν, ἐκ μειρακυλλίε δ' ἑταῖρος Δημοσθένες, ἐπέμφθη δ' ὑπ' αὐτἕ πρὸς Ἡφαιςίωνα ἕνεκα διαλλαγῶν, ὥς φησι Μαρσύας ἐν ε' τῶν περὶ Ἀλέξανδρον.

ἀρκτεῦσαι Λυσίας ἐν τῷ ὑπὲρ Φρυνίχε θυγατρός, εἰ γνήσιος, τὸ καθιερωθῆναι πρὸ γάμων τὰς παρθένες τῇ Ἀρτέμιδι τῇ Μενυχίᾳ ἢ τῇ Βραυρωνίᾳ. τὰ δὲ συντείνοντα εἰς τὸ προκείμενον εἴρηται παρά τε ἄλλοις καὶ Κρατερῷ ἐν τοῖς Ψηφίσμασιν. ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλἕνται, Εὐριπίδης Ὑψιπύλῃ, Ἀριςοφάνης Λημνίαις καὶ Λυσιςράτῃ.

Ἀρκτἕρος καὶ Ἀρκτοφύλαξ ὁ Βοώτης ὀνομαζόμενος· Λυσίας ἐν τῷ κατὰ Φιλίππε ἐπιτροπῆς. ἰδίως δὲ ὁ ὑπὸ τὴν ζώνην αὐτἕ ἀςήρ· Ἄρατος καὶ Ἡσίοδος Ἔργοις δηλἕσιν.

ἀρκυωρός· Λυκἕργος ἐν τῇ κατὰ Μενεσαίχμε εἰσαγγελίᾳ. ὁ

1. ἀγρυλέων Valesius: codices ἀργυλέων. ἀθ. καὶ τὸν A. 2. ἀργυλιαςικὸν BC. ἀρδήτε ABF. 3. ἐξώρισεν ABCF: correxit Iungermannus Polluc. 8 122. δ' om C. 4. ὥςε pr B. καταλύεται BC, καταλέλυται F, κατελέλυτο A. 5. ἀρετὴ ἀνδοκίδης καὶ θεκυδίδης ἀντὶ τἕ εὐδοξία :- DE. α^{η} CF. c. 33. 6. ἀρίθμιος O et pr A. κύριον :- E. τις? 7. καὶ τἕτο om EF. 8. om E. 9. ἀριςίων ὡσαύτως. ἔςι δὲ σάμιος μὲν ἢ πλαταιεύς, ἐκ μειρακυλλίε δὲ ἑταῖρος δημοσθένες — διαλλαγῶν. μνημονεύει δὲ αὐτἕ ὑπερίδης ἐν τῷ κατὰ δημοσθένες :- F.
10. πλατανεὺς B. δ' ὕλλος ABF. δ' add ABFM. 11. δημοσθένει B. 12. τῷ ABF. 13. ἐν — γνήσιος om E. 14. πρὸς γάμον BFG, πρὸ γάμον C. τῇ ἀρτέμιδι ἀρκτεύειν ἔλεγεν. καὶ γὰρ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλἕνται, ὡς εὐριπίδης καὶ ἀριςοφάνης δηλοῖ :- E.
15. βαυρωνία A, φαυρωνία BCF. 16. Κρατερῷ Maussacus: codices κρατίνῳ. 17. αἱ om B. 18. λυσιςράτης F. v. 645. 19. ἀρκτἕρος λέγεται καὶ αὐτὸς ὅλος (ὅλως D) ὁ βοώτης, ἰδίως δὲ καὶ ὁ — ἀςήρ :- DE. ὀνομ.] ἐπικαλἕμενος N. 20. ἰδία B. 22. ἀρκύωρος BEFN, quorum E ἀρκύωρος ὁ τὰς — φυλάττων. ἔςιν δὲ ταῦτα τὰ κυνηγετικὰ πάντα λῖνα :- τῷ ABF.

τὰς ἄρκυς, τουτέστι τὰ λίνα, φυλάττων. ἄρκυς δὲ πάντα τὰ κυνηγετικὰ λίνα· Ξενοφῶν Κυνηγετικῷ, Κρατῖνος Θράτταις.

ἁρμοσταὶ οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι, ὡς Ἐρατοσθένης ἐν τοῖς περὶ ἀγαθῶν καὶ κακῶν φησί· Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

ἀρρηφορεῖν· Δείναρχος κατὰ Πυθέου. δʹ μὲν ἐχειροτονοῦντο διʼ εὐγένειαν ἀρρηφόροι, βʹ δὲ ἐκρίνοντο, αἳ τῆς ὑφῆς τοῦ πέπλου ἦρχον καὶ τῶν ἄλλων τῶν περὶ αὐτόν. λευκὴν δʼ ἐσθῆτα ἐφόρουν. εἰ δὲ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγίνετο.

Ἀρτεμισία· Δημοσθένης περὶ τῆς Ῥοδίων ἐλευθερίας. βʹ γεγόνασιν αὗται, Καρικαὶ γένος καὶ βασιλίδες ἀμφότεραι, ἡ μὲν πρώτη κατὰ τὰ Περσικά, θυγάτηρ δʼ ἦν Λυγδάμιδος, ἧς καὶ Ἡρόδοτος μνημονεύει. ἡ δὲ νεωτέρα, ἧς ὁ Δημοσθένης, θυγάτηρ μὲν ἦν Ἑκατόμνω, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου, ἥν φησι Θεόπομπος φθινάδι νόσῳ ληφθεῖσαν διὰ τὴν λύπην τὴν ἐπὶ τοῦ ἀνδρὸς καὶ ἀδελφοῦ Μαυσώλου ἀποθανεῖν.

Ἀρτεμίσιον ἰδίως τὸ τῆς Ἀρτέμιδος ἄγαλμα· Ὑπερίδης Δηλιακῷ. λέγεται δὲ καὶ ἀκρωτήριόν τι τῆς Εὐβοίας, ὡς Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

Ἀρύβας Ἀλκέτου μὲν υἱός, Μολοττῶν δὲ βασιλεύς· Δημοσθένης Φιλιππικοῖς.

1. τὰς BC. 2. θραίτταις F, θρέτταις BCG, θρέπταις A. 4. ἐκπεμπόμενοι :– E. καὶ om F. 5. § 96. 6. ἀρρηνοφορεῖν et 7. ἀρρηνοφόροι BC. Δ. κατὰ Π. om E. 6. πυθέω BC. 7. διʼ εὐγ. ἀρρ.] τῶν εὐγενῶν DE. οἳ C. αἵτινες ἦρχον τῆς ὑφῆς τοῦ πέπλου E, αἳ διὰ τῆς ὑ. τ. π. ἤρχοντο O. 8. εἶχον B. 9. εἰ δὲ DE, καὶ εἰ ABCF. ἐγίνοντο ACF. 10. Δ. — ἐλευθ. om E. 11. αὗται om DE. ὧν ἡ μὲν πρώτη γέγονε κατὰ τὰ περσικά, ἡ δὲ νεωτέρα, ἧς καὶ δημοσθένης ἐν τῇ (τῷ D) περὶ τῆς ῥοδίων ἐλευθερίας μνημονεύει — μαυσώλου :– DE. 12. δʼ om BCF. δάμιδος ABCF. 13. ὁ om C. 14. μὲν om B. ἑκατόμνου γυνὴ δὲ ἀδελφὴ δὲ μ. C. 15. φθινάδη C. λύπην τὴν om C. 16. καὶ τοῦ ἀδ. ABF. μαυσώλου om B. 17. ἀρτεμίσιον ἰδίως μὲν ὑπερίδης πολλάκις ὠνόμασε τὸ τῆς ἀρτέμιδος ἄγαλμα, λέγεται — εὐβοίας, οὗ δημοσθένης ἐν τῷ ὑπὲρ κτ. μνημονεύει :– E. δηλιακῷ om BCF. 18. δὲ] δέ τι B. τι ἀκρωτήριον C. 19. § 208. 20. ἀρύμβας A. μὲν ἦν υἱὸς — βασιλεύς :– E. δὲ om F. 21. φιλιππικῷ BCF. Olynth. I 13. post 21. K ἀρύβαλόν ἐστιν εἶδος ποτηρίου στενοστόμου. ἀναβιῶν ἀντὶ τοῦ ἀναβιώσας. πλάτων σκευαῖς "ἀναβιὼν ἐκ τῆς νόσου" καὶ ἀριστοφάνης. ἀναλγής ὁ μὴ ἀλγῶν, ἀνάλγητος δὲ ὁ μὴ τοῦ προσήκοντος ἐπιστρεφόμενος, ὡς παρʼ αἰσχίνῃ "οὐ γὰρ τοσοῦτον ἀνάλγητοι ἦσαν ὥστε καὶ κολάζειν ἅπαντας." καὶ ἀναλγήτως παρὰ τῷ αὐτῷ. ἀνακογχυλίσασθαι ἐπὶ τοῦ ἐν τῷ βίῳ λεγομένου ἀκαγαργαρίσασθαι. εὔπολις ἐν φίλοις. ἀναμφι–

ἀρχαιρεσιάζειν τὸ ἀξιȣ̃ν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα. Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτȣ.

ἀρχαίως. Ἰσοκράτης Πανηγυρικῷ "τά τε παλαιὰ καινῶς διελθεῖν ϗ περὶ τῶν νεωςὶ γενομένων ἀρχαίως εἰπεῖν." ἔνιοι μέν φασι σημαίνειν ἀρχαιοτρόπως, τȣτέςιν ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι. Θȣκυδίδης ἐν τῇ α' τῶν ἱςοριῶν τρόπον τινὰ ἐξηγήσατο. φησὶ περὶ τῶν ἀρχαίων πραγμάτων τȣ̀ς νεωτέρȣς διεξέρχεσθαι. "περὶ μὲν γὰρ τῶν καθ' ἡμᾶς γεγενημένων" φησὶ "τȣ̀ς ἀκριβέςατα λέγοντας πιςοτάτȣς ἡγȣ́μεθα, περὶ δὲ τῶν παλαιῶν τȣ̀ς ȣ̓́τω διεξιόντας ἀπιθανωτάτȣς εἶναι νομίζομεν, ὑπολαμβάνοντες ȣ̓́τε τὰς πράξεις ἁπάσας ȣ̓́τε τῶν λόγων τοὺς πλείςȣς εἰκὸς εἶναι μνημονεύεσθαι διὰ τοσȣ́των." Δημοσθένης δ' ἐν Φιλιππικοῖς φησὶν "ȣ̓́τω δὲ ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς" ἀντὶ τȣ̃ ἁπλῶς.

ἀρχὴ ἄνδρα δείκνυσι· Δημοσθένης προοιμίοις δημηγορικοῖς. Σοφοκλῆς μὲν ȣ̓̃ν ἐν ταῖς ἐλεγείαις Σόλωνός φησιν αὐτὸ εἶναι ἀπόφθεγμα, Θεόφραςος δ' ἐν τῷ παροιμιῶν ϗ Ἀριςοτέλης Βίαντος.

ἀρχὴν ἰᾶσθαι πολὺ λώϊον ἠὲ τελευτήν. ἄλλη παροιμία. δηλοῖ δὲ ὡς ἀρχόμενα τὰ δεινὰ δεῖ μᾶλλον πειρᾶσθαι κωλύειν ἢ ἀκμάσαντα ϗ τελειωθέντα.

λέκτως ξενοφῶν, *ἀναμφιβόλως* θȣκυδίδης. 1. ἀρχαιρεσιάζειν δείναρχος τὸ — ἄρχοντα :- E. ἀναξιȣ̃ν AFM. αὑτὸν F. 2. κατὰ om ABĊF. πολυεύκτω BC. 3. ἀρχαῖος BDE. ἰσοκράτης μὲν ἐν τῷ πανηγυρικῷ τὸ ἀρχαιοτρόπως εἰπεῖν, τȣτέςι τὸ (τὸ om E) ἀρχαίοις ῥήμασι (ὀνόμασι E) χρῆσθαι. δημοσθένης δὲ ἐν τοῖς φιλιππικοῖς εἰπὼν ȣ̓́τως δὲ ἀρχαίως — ἀντὶ τȣ̃ ἁπλῶς ἔλαβεν :- DE. παναθηναϊκῷ C. § 8.
5. σημαίνει F. 6. Θȣκ.] cf. Duker praef. p. (Lips.) xxvi, Marx Ephori fr., p. 64 et 90. δ' ἐν A. 7. διέρχεσθαι C. 8. γενομένων C.
9. ἡγούμεθα :- C. 10. τοὺς ȣ̓́τω] τοσȣ́τω ABF : correctum e Goesiana. 13. δ' ἐν] μὲν F, ἐν B. Phil. 3 48. post 14. K *ἄρριχος* κόφινος πυκνὸς εἰς ὃν ἐτρύγων. ἀριςοφάνης γȣ̃ν ἐν ὄρνισι τὴν διαφορὰν τȣ̃ ἀρρίχȣ καὶ κοφίνȣ φησίν· ἀλλ' ὡς τάχιςα τȣ̀ς ἀρρίχȣς καὶ τȣ̀ς κοφίνȣς ἅπαντας ἐμπίπλη πτερῶν. *ἀργός* ἐπί τε ἀρσενικȣ̃ καὶ θηλυκȣ̃ ἀττικῶς· καὶ ὁ κωμικὸς "ἀργοὶ κάθηνταί μοι γυναῖκες τέτταρες." καὶ σοφοκλῆς "γλῶτταν μὲν ἀργόν, χεῖρα δ' εἶχον ἐργάτιν." γράφεται δὲ καὶ ἀργὴ κοινῶς. 15. δείκνυσιν. παροιμιῶδές ἐςιν. σόλωνος δὲ εἶναί φασιν αὐτὸ ἀπόφθεγμα, ἀριςοτέλης δὲ καὶ θεόφραςος βίαντος :- E. Δημ. πρ. δημ. om C. δημηγορικῶς ABF. § 48. 16. ȣ̓̃ν om BC. 17. καὶ Ἀρ. Βίαντος om C.
19. λῷον D. ἦτε F, ἢ DE.

Ἀρχιδάμιος πόλεμος· Λυσίας ἐν τῷ κατ' Αὐτάνδρȣ ϗ Πυθέȣ ξενίας. τὰ πρῶτα ί ἔτη τȣ̃ Πελοποννησιακȣ̃ πολέμȣ Ἀρχιδάμιος ἐκλήθη πόλεμος, ὡς ἔοικεν, ἀπὸ τȣ̃ τὸν Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθὰ Θȣκυδίδης ϗ Ἔφορος ϗ Ἀναξιμένης φασίν.

ἀσήμαντα τὰ ὑφ' ἡμῶν λεγόμενα ἀσφράγιςα· σημεῖα γ̓ ἔλεγον τὰς σφραγῖδας· Ὑπερίδης ἐν τῷ κατ' Ἀντίȣ.

Ἀσπασία· Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν διαλεγόμενος ἐπιγραφομένῳ Ἀσπασίᾳ. μνημονεύȣσι δ' αὐτῆς πολλάκις ϗ οἱ ἄλλοι Σωκρατικοί, ϗ Πλάτων ἐν τῷ Μενεξένῳ τὸν Σωκράτην παρ' αὐτῆς φησὶ μαθεῖν τὰ πολιτικά. ἦν δὲ τὸ μὲν γένος Μιλησία, δεινὴ δὲ περὶ λόγȣς· Περικλέȣς δέ φασιν αὐτὴν διδάσκαλόν τε ἅμα ϗ ἐρωμένην εἶναι. δοκεῖ δὲ δυοῖν πολέμων αἰτία γεγονέναι, τȣ̃ τε Σαμιακȣ̃ ϗ τȣ̃ Πελοποννησιακȣ̃, ὡς ἔςι μαθεῖν παρά τε Δȣ́ριδος τȣ̃ Σαμίȣ ϗ Θεοφράςȣ ἐκ τȣ̃ δ' τῶν Πολιτικῶν ϗ ἐκ τῶν Ἀριςοφάνȣς Ἀχαρνέων. δοκεῖ δὲ ϗ ἐξ αὐτῆς ἐσχηκέναι ὁ Περικλῆς τὸν ὁμώνυμον αὐτῷ Περικλέα τὸν νόθον, ὡς ἐμφαίνει ϗ Εὔπολις ἐν τοῖς Δήμοις. Λυσικλεῖ δὲ τῷ δημαγωγῷ συνοικήσασα Ποριςὴν ἔσχεν, ὡς ὁ Σωκρατικὸς Αἰσχίνης φησίν.

ἀςαθμητότατον περὶ ȣ̃ ȣ̓δεὶς ἂν δύναιτο τεκμήρασθαι ȣ̓δὲ ςαθμήσασθαι τί ποτε διανοεῖται ἢ τί πράξει· Δημοσθένης ἐν τῷ παραπρεσβείας.

1. πόλεμος. πολέμȣ τὰ πρῶτα ἔτη ἀρχ. ἐκλήθη πόλ. ἀπὸ τȣ̃ — E. αὔτανδρον A, ἀνδροτίωνος BCF. 2. πυθίȣ BC. ί om BCF. 3. τὸν om B. 4. ἐσβαλεῖν D. καθὰ καὶ θ. B. 6. ἐφ' BCF, om cum ἡμῶν E. καὶ γὰρ σημεῖα τὰς σφραγῖδας ἔλεγον :- E. 8 — 20. om C. 8. ἀσπασία πολυθρύλητος γέγονεν. ἦν δὲ γένος μιλησία — E. αἰσχίνη A. τὰ σωκρατικὰ M. διαλόγῳ Casaubonus, Αἰσχίνης Σωκρατικὸς ἐν διαλόγῳ Menag. ad Diog. L. 2 61. 9. ἐπιγραφαμένος (ω) M, ἐπιγραφόμενος ABF. 10. καὶ ὁ πλάτων BFM. p. 380 4. 12. μὲν om BF. 13. τε om E. ἅμα om B. 14. δυεῖν DF. αἰτία om F. πελοποννησιακȣ̃. δοκεῖ δὲ καὶ ἐξ αὐτῆς ἐσχηκέναι περικλῆς — νόθον :- E. 15. θεόφραςος F. 16. v. 527. 17. δὲ add ADE, καὶ DE. ὁ om DE. 19. Πορίςην Coraes Plutarch. 1 p. 462. post 20. K ἀσκώλια ἑορτὴ παρ' ἀθηναίοις ἐν ᾗ ἥλλοντο τȣ̀ς ἀσκȣ̀ς εἰς τιμὴν τȣ̃ διονύσȣ. καὶ ἀσκωλιάζειν κυρίως τὸ ἐπὶ τὸν ἀσκὸν ἅλλεσθαι. ἐν μέσω γὰρ τȣ̃ θεάτρου ἐτίθεντο ἀσκοὶ πεφυσημένοι, εἰς ȣ̃ς ἀναλλόμενοι ἐνωλίσθαινον, ὡς εὔβȣλος· καὶ πρός γε τȣ̃το ἀσκὸν εἰς μέσον καταθέντες εἰσάλλεσθε κἀκχέζετε (καὶ καγχάζετε?) ἐπὶ τοῖς καταρρέȣσιν. ȣ̃τω καὶ δίδυμος. ἀσκωλιάζειν καὶ τὸ ἐπὶ ἑνὸς ποδὸς ἅλλεσθαι. 22. ςαθμήσεσθαι B. πράττει N. 23. § 136.

ἄστικτον χωρίον τὸ μὴ ὑποκείμενον δανειστῇ· ὅταν γὰρ ὑποκέηται, εἴωθεν ὁ δανείσας αὐτὸ τοῦτο δηλοῦν διὰ γραμμάτων ἐπόντων τῷ χωρίῳ. τὸ δ' αὐτὸ καὶ ἐπ' οἰκίας γίνεται· Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν.

ἀστράβη ἡ ἡμίονος· Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. μήποτε δὲ καὶ πᾶν ὑποζύγιον, ἐφ' οὗ ἄνθρωποι ὀχοῦνται, οὕτως ἐκαλεῖτο.

ἀστυνόμος· Δημοσθένης κατὰ Τιμοκράτους. ι' φησὶν εἶναι τοὺς ἀστυνόμους Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ε' μὲν ἐν Πειραιεῖ, ε' δ' ἐν ἄστει. τούτοις δέ φησι μέλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ τῶν κοπρολόγων καὶ τῶν τοιούτων.

ἀσυνθετώτατον. Δημοσθένης ἐν τῷ παραπρεσβείας ἐπ' ὄχλου ἔταξε τοὔνομα, ἤτοι ἀντὶ τοῦ ἀπιστότατον καὶ ἀβεβαιότατον καὶ πίστεις οὐ τιθέμενον διὰ τὸ ἀβέβαιον, ἢ ἀνομόλογον καὶ ἀσύμφωνον· ὁμολογίαι γὰρ αἱ συνθῆκαι. ἢ ἀντὶ τοῦ ἀσυνετώτατον, ὅπερ ἐστὶν ἀνοητότατον. ἢ ἀντὶ τοῦ ὃν μάλιστα οὐκ ἂν δύναιτό τις συνιέναι τί ποτε φρονεῖ· Ὅμηρος "σὺ δὲ σύνθεο καί μευ ἄκουσον."

Ἀταρνεὺς πολίχνιόν τι καταντικρὺ Λέσβου κείμενον· Ἰσοκράτης Πανηγυρικῷ, Ἡρόδοτος ἐν ς'.

ἀτεχνῶς περισπωμένως μὲν ἀντὶ τοῦ σαφῶς ἢ βεβαίως ἢ ἀσφαλῶς ἢ φανερῶς, παροξυτόνως δὲ ἀντὶ τοῦ ἀμελῶς καὶ ἄνευ τέχνης.

ἀτίμητος ἀγὼν καὶ τιμητός. ὁ μὲν τιμητὸς ἐφ' ᾧ τίμημα ὡρισμένον ἐκ τῶν νόμων οὐ κεῖται, ἀλλὰ τοὺς δικαστὰς ἔδει τι-

1 — 4. om C. 1. ἀστικὸν ABFN, ἀσ E. 2. αὐτὸ τοῦτο ὁ δανείσας διὰ γραμμάτων δηλοῖ ἐπικειμένων (ὑποκειμένων D) τῷ χωρίῳ DE. τοῦτο om B. 3. γίνεται :— E. 5. ἀστραβής A. ἡ om CFN. ὡς δημοσθένης κατὰ μειδίου. τάχα δὲ — E. § 133. 7 — 10. om C. 7. ἀστυνόμως F. Δ. — Τ. om E. § 112. δέκα ἦσαν ἀστυνόμοι, πέντε μὲν — ἄστει, οἷς ἔμελλεν — E. τοὺς om A. 8. δ' ἐν A. ε'] cf. Boeckh. Inscr. t. 1 p. 337 b. ἐν add BDE. 9. δέ φησι] φασι N, om F in lacuna. μέλλειν AFN. τῶν om DE. 10. προλόγων N, qui in margine προοιμίων ἤτοι τῶν ὕμνων. τῶν om D. 11. § 136. 12. ἔλεξε C, τάττει EN. ἤτοι om EN. καὶ π.] ἢ π. C. 13. διὰ τὸ ἀβέβαιον οὐ τιθέμενον E. 14. ἀσυνδετώτατον. ὅμηρος δὲ ἀντὶ τοῦ ὃ μὴ δύναταί τις συνιέναι τί ποτε φρονεῖ. φησὶ γὰρ σὺ — E. 16. Il. 1 76. μοι ὄμοσσον BCFG. 17. ἀταρβὲς πολύχνιόν C. λέσβου om A. κείμενον :— E. 18. § 144. c. 28. 19 — 21. post p. 39 14. BF. 19. ἀτεχνῶν A. ἢ βεβαίως om C. 20. ἢ φανερῶς om C. 22. καὶ — τιμητὸς om DE, ὁ μὲν τιμητὸς om C. 23. ὡρισμένον et οὐ κεῖται DE: ceteri ὡρισμένως et οὐκ ἔστιν. ἀλλ' οἱ δικάζοντες ἐτιμῶντο τί δεῖ παθεῖν ἢ ἀποτῖσαι. ὁ δὲ τιμητὸς ᾧ — DE.

μᾶσθῃ ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι· ὁ δὲ ἀτίμητος τοὐναντίον ᾧ πρόσεστιν ἐκ τῶν νόμων ὡρισμένον τίμημα, ὡς μηδὲν δεῖν τοὺς δικαστὰς διατιμῆσαι. Αἰσχίνης κατὰ Κτησιφῶντος, Δημοσθένης κατὰ Μειδίου.

ἄτιμος. τοῦτο ἰδίως ἔταξε Δημοσθένης Φιλιππικοῖς, ἤγουν ὃν ἄν τις ἀποκτείνας οὐχ ὑπόκειται ἐπιτιμίῳ. φησὶ γὰρ περὶ Ἀρθμίου λέγων ὅτι ἐψηφίσαντο Ἀθηναῖοι ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τῶν Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸν καὶ γένος, καὶ ἄτιμον εἶναι· εἶτ' ἐπιφέρει ὥσπερ ἐξηγούμενος "τοῦτο δ' ἐστὶν οὐχ ἣν οὕτω τις ἂν φήσειεν ἀτιμίαν· τί γὰρ τῷ Ζελείτῃ τῶν Ἀθηναίων κοινῶν εἰ μὴ μεθέξειν ἔμελλεν; ἀλλ' ἐν τοῖς φονικοῖς γέγραπται νόμοις, ὑπὲρ ὧν ἂν μὴ διδῷ δίκην φόνου δικάσασθαι, καὶ ἄτιμος φησὶ τεθνάτω. τοῦτο δὴ λέγει καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι."

ἄττα ἀντὶ μὲν τοῦ ὅσα ἢ ἅτινα Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου, ἀντὶ δὲ τοῦ τινὰ ἢ ποιά τινα Δημοσθένης Φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα· Χιονίππου "πύθου χελιδὼν πηνίκ' ἄττα φαίνεται."

Ἄττης· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ὁ Ἄττης παρὰ Φρυξὶ μάλιστα τιμᾶται ὡς πρόσπολος τῆς μητρὸς τῶν θεῶν. τὰ δὲ περὶ αὐτὸν δεδήλωκε Νεάνθης· μυστικὸς δὲ ὁ λόγος.

Ἀττικοῖς γράμμασιν Δημοσθένης κατὰ Νεαίρας ἀντὶ τοῦ παλαιοῖς· τὴν γὰρ τῶν κδ' στοιχείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι. Θεόπομπος δ' ἐν τῇ κε' τῶν Φι-

2. ἐκ τῶν] αὐτῶν F, ἀπὸ τῶν DE. ὡρισμένως ABCF. τίμημα :- DE. οὐδὲν BCFG. δεῖ C. 3. τιμῆσαι :- BCFG. § 210. 4. § 90. 5. ἄτιμος. ἰδίως δημοσθένης ἐν φιλιππικοῖς τὸν ἀτιμώρητον λέγει, τουτέστιν ὃν ἄν τις ἀποκτιννὺς οὐχ ὑπόκειται ἐπιτιμίῳ ἀλλ' ἐστι καθαρὸς αἰτίας ὃ οἷον τὸν ἄτιμον ἀνελών :- DE. ἐτάξατο CF, ἐδέξατο B. Phil. 3 42. ὃ F. 6. ἀριθμίου F. 7. πολεμίως F. 8. αὐτὸν καὶ γένος Valesius: codices αὐτῶν καὶ γένους. ἄτιμοι G. 11. κοινωνεῖ εἰ ABCF. φοινικοῖς C, φοινικῆς F. 12. δίκην φόνου] φόνον AF. 13. τοῦτον ABCF. δὲ C. τούτου G. 15. ἄττα τέσσαρα σημαίνει. ἀντὶ — ἅτινα παρὰ ἀντιφῶντι, ἀντὶ δὲ — τινα παρὰ δημοσθένη ἐν φιλιππικοῖς. ἐνιαχοῦ παρέλκει τὸ ἄττα :- E. μὲν om BCF. Ἀντ. — 16. Φιλ. om C. τῶν ABF. λιδίων F. 16. φόνου A. 17. ἄττα C. Χιονίππου Philemon p. 30, χίονί που B, χίωνί που AF, χιωνιοπου M. om cum ipso versu C. πύθου B. 19. ἄττης παρὰ — θεῶν :- E. ἀττήσυος A, ἀττησύος F, ἀττησου^ος M. Δ. — Κτ. om C. § 260. 21. αὐτῶν AB. δεδήλωκεν ὁ ἄνθης A. 22. § 70. 24. Θ. — p. 40 3. Ἰώνων om CE.

λιπτικῶν ἐσκευωρήθη λέγει τὰς πρὸς τὸν βάρβαρον συνθήκας, ἃς οὐ τοῖς Ἀττικοῖς γράμμασιν ἐστηλιτεύθη ἀλλὰ τοῖς τῶν Ἰώνων.

αὐθέντης· Λυσίας ἐν τῷ ὑπὲρ τοῦ Ἐρατοσθένους. ἐν τῷ πρὸς Ἰσόδημον ἰδίως ἔταξεν ἐπὶ τῶν λ', οἳ δι' ἑτέρων εἰργάζοντο τοὺς φόνους· ὁ γὰρ αὐθέντης ἀεὶ τὸν αὐτόχειρα δηλοῖ.

αὔλειος ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας, ὡς δηλοῖ Μένανδρος.

αὐλία· Λυσίας ἐν τῇ κατὰ Διοδότου καὶ Αἰσχίνης κατὰ Κτησιφῶντος. ἤτοι ἀντὶ τοῦ ἐπαύλεις, ἢ ἀντὶ τοῦ μικρὰς αὐλάς.

αὐλιζόμενοι ἀντὶ τοῦ κοιμώμενοι Ἀντιφῶν περὶ ὁμονοίας.

αὐτοδικεῖν ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος.

Αὐτοκλείδης. Αἰσχίνης κατὰ Τιμάρχου "Κηδωνίδην καὶ Αὐτοκλείδην καὶ Θέρσανδρον." οὗτοι παιδερασταὶ σφοδροί, ὡς καὶ Ἀριστογείτων κατὰ Τιμάρχου.

αὖ Δημοσθένης ἀντὶ τοῦ πάλιν ἐν τῷ κατ' Ἀφόβου α'.

αὐτολήκυθοι· Δημοσθένης κατὰ Κόνωνος. ἤτοι ἀντὶ τοῦ εὐζώνους τινὰς καὶ ἑτοίμους πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν, ἢ ἀντὶ τοῦ πένητας καὶ μηδὲν ἄλλο κεκτημένους ἢ ληκύθους, ἢ αὐτουργούς, ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους καὶ οἷον τύπτοντας καὶ μαστιγοῦντας καὶ ὑβρίζοντας. ἢ λέγοι ἂν τοὺς ἐκ προχείρου διδόντας ἀργύριον καὶ ἑτοίμους πρὸς τὰς μίξεις· καὶ γὰρ εἶχον ἐν ταῖς

2. ἃς οὐ τοῖς] οἷς οὐκ BF, οἷς A, οὐ τοῖς N. ἐστηλίτευται ABF, ἐστηλίτευσε N. 4. ἐν — ἰσόδημον om E, τοῦ et ἐν τῷ πρὸς ἰσόδημον om C. 5. ἰδίως αὐτὸ ἔταξεν E. τοὺς A. οἳ ABCF : vulgo καίτοι. εἰργάζοντο τοὺς εἰρ φόνους A. 6. ἀεὶ om BCFG. σημαίνει E. 7. αὔλιος DEFN. οἰκίας : – DE. 9. αὐλία ἀντὶ τοῦ ἐπαύλεις ἢ ἀντὶ τοῦ μικρὰς αὐλάς. οὕτω λυσίας καὶ αἰσχίνης : – E. αὔλλα F, ἀΰλια N. διοδήτου B. ἐν τῷ κατὰ B. § 119. 10. τοῦ alterum om C. μακρὰς N, τὰς μικρὰς AC, τὰς μακρὰς BF. 11. αὐλ. ἀντιφῶν ἀντὶ τοῦ κ. : – E. 12. αὐτοδοκεῖν ABEF, quorum E αὐτοδοκεῖν δείναρχος ἀντὶ — ὁρίζειν : – 13. κατὰ τοῦ κλ. F. 14. Αἰσχ. κ. Τ. om E, qui κηδωνίδης καὶ αὐτοκλείδης καὶ θέρσανδρος ὡς παιδερασταὶ διεσύροντο : – § 52. κυδωνίδην ABCFM, κυδωνίδης N. 15. θέσανδρον CF, θέσανδρος N. οὗτοι om N. ἀρίστων pr B. 17. om C. ἐν — α' ante ἀντὶ E. 18. § 14. ἀπὸ D. εὐζώνως E. 19. καὶ ἑτοίμως E, om D. ποιεῖν om B. 20. ἢ ληκύθους om C, qui αὐτουργούς : – 21. ἢ om A. 22. λέγοι ἂν om DE. ἂν τοὺς] ἀντὶ τοῦ F. προχύρου A. 23. πράξεις (μι supra) N. τοῖς BF et pr N.

ληκύθοις ἀργύριον. τὸ ὄνομα ϗ παρὰ Μενάνδρῳ ἔν τε Ἡνιόχῳ ϗ Δακτυλίῳ. ὅτι δὲ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον ἐνίοτε, Δίφιλος τῷ Ἀποβάτῃ. ὅτι δὲ λύσαντες τὴν λήκυθον ἐχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν, Μένανδρος Τροφωνίῳ.

Αὐτόλυκος. Λυκούργου λόγος ἐστὶ κατ' Αὐτολύκου τοῦ Ἀρεοπαγίτου. οὗτος δὲ τοὺς οἰκείους ὑπεκτιθέμενος ἐν τοῖς Χαιρωνικοῖς ἑάλω, ϗ κατεψηφίσαντο αὐτοῦ οἱ δικασταί, ὡς ὁ αὐτὸς δηλοῖ ῥήτωρ ἐν τῷ κατὰ Λεωκράτους.

αὐτομαχεῖν τὸ δι' ἑαυτοῦ δικάζεσθαι ἀλλὰ μὴ δι' ἑτέρου. οἷον ἐάν τις εἰς πρατῆρα ἀνάγῃ, πρὸς ἐκεῖνον ἀποφαίνει τὴν δίκην οὖσαν· ϗ ἐάν τις παρέχῃ τὸν διαμαρτυροῦντα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, αὐτὸς μὲν οὐκέτι ἀγωνίζεται, πρὸς δὲ τὸν διαμαρτυρήσαντα ὁ ἀγὼν ἐστι. Λυσίας ἐν τῷ κατ' Εὐκλέους χωρὶς ἐξούλης.

αὐτόχθονες οἱ Ἀθηναῖοι. Δημοσθένης ἐν τῷ παραπρεσβείας "μόνοι γὰρ τῶν πάντων αὐτόχθονες ὑμεῖς ἐστέ." Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν κληθῆναί φησιν αὐτοὺς αὐτόχθονας, ἐπεὶ τὴν χθόνα, τουτέστι τὴν γῆν, ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο· οἱ δὲ διὰ τὸ μὴ εἶναι ἐπήλυδας. ὁ δὲ Πίνδαρος ϗ ὁ τὴν Δαναΐδα πεποιηκώς φασιν Ἐριχθόνιον ϗ Ἥφαιστον ἐκ γῆς φανῆναι. αὐτόχθονες δὲ ϗ Ἀρκάδες ἦσαν, ὡς Ἑλλάνικός φησι, ϗ Αἰγινῆται ϗ Θηβαῖοι.

ἀφαίρεσις ἰδίως λέγεται ἡ εἰς ἐλευθερίαν· Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας.

Ἀφαρεύς. οὗτος Ἱππίου μὲν ἦν υἱός, ἐνομίζετο δὲ Ἰσοκράτους.

ἀφανὴς οὐσία καὶ φανερά. ἀφανὴς μὲν ἡ ἐν χρήμασι ϗ

1. ληκίθοις ἀργύρια. καὶ λύσαντες δὲ πολλάκις — μαστιγοῦν :– E. ἀργύρια etiam MN. 2. τοῖς B. ἐνίοτε δὲ φίλον (δὲ δίφιλον FO) τὸν ἀποβάτην ABFO: correxit Maussacus. 4. τροφωνία F. 5. αὐτόλυκος. ἀρεοπαγίτης οὗτος ἦν καὶ τοὺς οἰκείους — δικασταί :– E. 7. ὁ post δηλοῖ B, om C. 8. λεκράτους A, λεοκράτους CF. § 53. 9. ἀλλὰ] καὶ N. ἑτέρου :– E. 10. ἀνάγκη M. ἀναφαίνει C. 12. μὲν] μὲν γὰρ A. 13. διαμαρτυρήσοντα B. ἐστι :– C. κατ'] αὐτῷ BF. 15. ἀθηναῖοι ἢ ἐπεὶ τὴν — εἰργάσαντο ἢ διὰ — ἐπήλυδας. αὐτόχθονες δὲ καὶ ἀρκάδες καὶ αἰγινῆται καὶ θηβαῖοι ἐκαλοῦντο :– E. δημ. περὶ τῆς πρ. ABF. § 261. 16. ἁπάντων F. 17. φησιν om BCF. 18. ἀρχὴν BC. 20. φησιν BCF. 21. δὲ om BCF. καὶ οἱ ἀρκ. A. ἑλλήνικος F. 23. ἀφαίρεσις ὑπερίδης ἰδίως τὴν εἰς ἐλευθερίαν λέγει :– E. ἐλευθερίαν :– C. 24. ἀρισταγόρου A, ἀριστογείτονος BF. 25. om E. 26. ἀφ. ἡ οὐσία C. ἀφανὴς οὐσία λέγεται ἡ ἐν — ἔγγειος. οὕτω λυσίας :– E.

σώμασι κ̕ σκεύεσι, φανερὰ δὲ ἡ ἔγγειος· *Λυσίας* ἐν τῷ πρὸς Ἱπποθέρσην.

ἀφεὶς κ̕ ἀπαλλάξας. τὸ μὲν ἀφείς, ὅταν ἀπολύσῃ τίς τινα τῶν ἐγκλημάτων ὧν ἐνεκάλει αὐτῷ, τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλȣ̃ντα ἀποςῆναι κ̕ μηκέτι ἐγκαλεῖν· *Δημοσθένης* ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ. ἔςι δὲ κ̕ ȣ̔́τως εἰπεῖν, ὅτι ἀφίησι μέν τις αὐτῶν μόνων ὧν ἂν ἐγκαλῇ, ἀπαλλάττει δέ, ὅταν μηδὲ ἄλλον τινὰ λόγον ὑπολίπηϑ ἑαυτῷ πρὸς τὸν ἐγκαλȣ́μενον. *Δημοσθένης* ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ "ἵν' ἀπαλλαγή τις αὐτῷ γένηϑ παρ' ὑμῶν κυρία."

ἀφεὶς τὴν ὑπέραν τὸν πόδα διώκει· *Ὑπερίδης* ἐν τῷ περὶ τȣ̃ ταρίχȣς α'. παροιμία ἐπὶ τῶν παριέντων τὰ σπȣδαιότερα κ̕ περὶ τὰ φαῦλα διατριβόντων. ὑπέραι δ' εἰσὶ ναυτικαὶ χοῖνοι, αἷς μετάγεϑ τὸ κέρας.

ἀφ' Ἑςίας μυεῖσθαι· *Ἰσαῖος* ἐν τῷ πρὸς Καλυδῶνα. ὁ ἀφ' Ἑςίας μυȣ́μενος Ἀθηναῖος ἦν πάντως, κ̕ ὁρῶ δὲ *Λάκων* ἐμυεῖτο.

ἀφορμή. ὅταν τις ἀργύριον δῷ ἐνθήκην, ἀφορμὴ καλεῖϑ ἰδίως παρὰ τοῖς Ἀττικοῖς.

ἀφοσιῶ ἀντὶ τȣ̃ ἀποκαθαίρω ἀφαγνίζω *Αἰσχίνης* κατὰ Κτησιφῶντος. τὸ δὲ μὴ ἐντελῶς τι ποιῆσαι, ἀλλ' ὥσπερ ὁσίας ἕνεκεν, ἀφοσιώσαϑ εἶπεν *Ἰσαῖος* ἐν τῷ πρὸς Ἕρμωνα.

Ἀφροδίσιον ἰδίως τὸ τῆς Ἀφροδίτης ἕδος.

1. δώμασι M. ἔγγυος BC. 3. ἀφεὶς ἐςιν ὅταν E. ἀπολῦς F. τις om ABCFN. 5. ȣ̔́τω δημοσθένης καὶ ἰσαῖος DE. 6. ἐν τῇ F (vel Γ^η) περὶ ABF et omisso τῇ C. § 25. παραγραφῆς A, περιγραφῇ BCF. δὲ om B. 7. ἀφίησί τις μόνων ἐκείνων ὧν ἐγκαλεῖ E. ἂν] ἐὰν τις C. ἀπαλλάττειν ABCF. 8. ὅταν δὲ μὴ ἄλλον τινὰ ὑπολίπηται αὐτῶι λόγον πρὸς τὸν ἐγκ. ἔςι δὲ καὶ τȣ̃το παρὰ δημοσθένει :- E. μὴ BC. 9. ἐγκαλȣ́μενον :- C. § 2. 10. γένοιτο N. ἡμῶν FN. κυρίως N. 11. διώκεις D. διώκει. παροιμία παρὰ ὑπερίδη ἐπὶ τῶν παρέντων μὲν τὰ σπ. περὶ δὲ τὰ — E. 12. τȣ̃ om BC. ταρίχȣ CF. παριόντων BCF. 14. σχοῖναι BF. 16. ἦν :- DE, πάντως :- C. καὶ ὁρῶ] Κάςωρ Boeckhius Inscript. 1 p. 445 b. 18. ἀφορμήν N. ἰδίως παρὰ τοῖς ἀττικοῖς, ὅταν τις ἀργύριον δώσηι ἐνθήκην, ἀφορμὴ καλεῖται E. ἐνδῶ A. ἐνδίκῃ BCF, εἰς ἐνθήκην Salmasius et Valesius. ἰδίως om C. 20. ἀφανίζω ABEF, ἀσφαλίζω N, om C. κατὰ Κτ. om E. § 120. 21. δὲ] γὰρ B. τι om A. ἀλλ' οἷον ἀπάρξασθαι ἢ σχηματίσασθαι ἰσαῖος λέγει :- DE. αἰσίας (ὁ) N. 23. τῆς om N. εἶδος A.

ἀφύας· Ὑπερίδης κατ' Ἀρισταγόρας. ἔςι δὲ ϗ ὄνομα ἑταιρῶν γυναικῶν ἀδελφῶν β'.

ἀχαριςεῖν ἀντὶ τȣ̃ μὴ χαρίζεσθαι. ȣ̔́τως Ἀντιφῶν.

βαλβίς· Ἀντιφῶν περὶ ὁμονοίας. ἡ ἀρχή. εἴρηται δὲ ἀπὸ τῶν δρομέων· ἡ γὰρ ὑπὸ τὴν ὕσπληγγα γινομένη γραμμὴ διὰ τὸ ἐπὶ ταύτης βεβηκέναι τȣ̀ς δρομέας βαλβὶς καλεῖται.

βάραθρον ὄρυγμα εἰς ὃ [ὁ δῆμος τῆς Ἱπποθοωντίδος] τοὺς ἐπὶ θανάτῳ κατακρίτȣς ἐνέβαλλον. Δημοσθένης δὲ ἐν Φιλιππικοῖς ȣ̓ κυρίως αὐτὸ λέγει ἀλλ' ἐκ μεταφορᾶς, οἷον ἐν τῷ ὀλέθρῳ.

1. δραχμὰς ἀργυρίου E. κ' Schol. Aristophan. Eccles. 741: ὀκτὼ vel η ABCIN. 2. μνῶν C. 3. τὸ ante μ. om C. 4. τι om BCDE. 5. κοινωνοὶ I. οἱ] εἰ C. 6. μή om C. τοὺς μὴ βουλομένους N. 7. προσκαλούμενοι om DE. 8. εἰ γνήσιος om BCI. καὶ om I. 9. ἐστὶ om E. 10. καὶ om I. 11. δατὴν I. 12. Ἔφορος] cf. Marx p. 186. 13. ἀρρενικῶς A. τρίτω CI. 14. μετωνομάσθησαν G. δαματηνῶν I. 15. τοῦ om I. 18. πολεμουμένων I. 19. ἤδη] ἔστι D, ἔτι E. τῷ om C. 20. ἐνομίζοντο C vel ἐνόμιζον. καλούμενος οὕτως DE. 21. σημαῖνον I. ἀπὸ] ἀντὶ C. τῷ om BCI. καὶ αὐτοὺς τοὺς τόπους E. 22. § 24. 23. δειπνοφόρος αἱ φέρουσαι τοῖς κατακεκλιμένοις ἐν τῷ τῆς ἀθηνᾶς ἱερῷ τὰ δεῖπνα :– E. ὑπερείδης N more suo. δημέου A, δημείου I, μειδίου BC. τοὺς I. 24. κατακεκλιμένων ABCI, κατακεκλεισμένων N. 25. εἰσέφερον N. 26. ἐν om A, ἐν ᾧ διῃτῶντο om C. συνήεσαν ἀσπασόμεναι N: vulgo συνῆσαν ἀσπαζόμεναι. 27. τὰς Valesius.

Δειραδιώτης. δῆμος τῆς Λεοντίδος Δειράδες, ἀφ' ὗ ὁ δημότης Δειραδιώτης.

δεινῷ ἀντὶ τῦ δεινήσει Ἀντιφῶν Ἀληθείας β'.

δεκάζων· Ἰσοκράτης περὶ τῆς εἰρήνης. ὅ τι ποτὲ τῦτ' ἐστί, δῆλον ἅπασιν· Ἐρατοσθένης δὲ ἐν τοῖς περὶ τῆς ἀρχαίας κωμῳδίας, πόθεν τὸ πρᾶγμα εἴρηται, δηλοῖ ὗτω λέγων "Λύκος ἐςὶν ἥρως πρὸς τοῖς ἐν Ἀθήναις δικαςηρίοις, τῦ θηρίυ μορφὴν ἔχων, πρὸς ὃν οἱ δωροδοκῦντες κατὰ ι' γιγνόμενοι ἀνεςρέφοντο, ὅθεν εἴρηται Λύκυ δεκάς." Ἀριςοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ Ἄνυτόν φησι καταδεῖξαι τὸ δεκάζειν τὰ δικαςήρια.

δέκα καὶ δεκαδῦχος. Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ "ἦρχον μὲν γὰρ οἱ ι' οἱ μετὰ τὺς λ' καταστάντες." περὶ τῶν μετὰ τὴν κατάλυσιν τῶν λ' Ἀθήνησι χειροτονηθέντων ἀνδρῶν ι' καὶ τῶν ἑξῆς εἴρηκεν Ἀνδροτίων ἐν τῇ γ'. ἐκαλεῖτο μέντοι τύτων ἕκαςος τῶν ἀρχόντων δεκαδῦχος, ὡς δῆλον ποιεῖ Λυσίας ἐν τῷ περὶ τῦ Διογένυς κλήρυ.

δεκαδαρχία· Ἰσοκράτης. τὰς μὲν ὑπὸ Λακεδαιμονίων καταςαθείσας ἐν ταῖς πόλεσι δεκαδαρχίας συνεχῶς ὀνομάζυσιν οἱ ἱςορικοί, ὁ μέντοι Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ τρόπον τινὰ ἐξηγήσατο τὔνομα· φησὶ γὰρ ὅτι Λακεδαιμόνιοι ι' μόνον ἄνδρας κυρίυς ἑκάςης πόλεως ἐποίησαν. Φίλιππος μέντοι παρὰ Θετταλοῖς δεκαδαρχίαν ὐ κατέςησεν, ὡς γέγραπται ἐν ϛ' Φιλιππικῷ Δημοσθένυς, ἀλλὰ τετραρχίαν.

δεκατεύειν. Δημοσθένης κατ' Ἀνδροτίωνος "ὐ γὰρ αὐτὺς δε-

1 et 2. δειρατιώτης E. τῆς] ἐςι τῆς E. ὁ om BC. 3. om C. δεινῷ ante Toupium. δινῶ δινήσω N. ἀντὶ — β' om E. 4. § 50. τῦτ' om B. δεκάζων. τὸ σημαινόμενον δῆλον, ἐποιήθη δὲ τὸ ὄνομα ἐντεῦθεν. λύκος μέν ἐστιν ἥρως μορφὴν ἔχων τῦ θηρίυ, πρὸς δὲ τοῖς ἐν ἀθήναις ἀνεςήλωται δικαςηρίοις· πρὸς ὃν δωροδοκῦντες κατὰ ι γινόμενοι ἀνεςρέφοντο. ἔνθα καὶ ἡ παροιμία λύκυ δεκάς. ἐξ ὗν τῆς δεκάδος τὸ δεκάζειν καὶ τὸ δεκάζεσθαι :– E. 8. συνεςρέφοντο ABI. 9. δ' om B. 10. δικάζειν I. 12. δέκα καὶ δ.] δέκα μὲν ἦρχον μετὰ τὺς λ καταςάντες, ἐκαλεῖτο μέντοι τύτων ἕκαςος τῶν ἀρχόντων δεκαδῦχος, ὡς δηλοῖ λυσίας :– E. 14. κατὰ 1 et rc B. λύσιν I. 17. κλήρω AI. 18. κατασπασθείσας B, κατασπαρείσας CG. 19. ἐν ταῖς add DE. δεκαρχίας I. 20. ἱςορικοί. καὶ φίλιππος μέντοι παρὰ θετταλοῖς δεκαδάρχην κατέςησεν, ὡς δημοσθένης ἐν ϛ φιλιππικῶν :– E. § 68. 21. μόνοι C. 23. ἐν] ἐν τῷ A. Phil. 2 22. 25. δεκατεύειν ἀντὶ τῦ δεκάτην εἰσπράττεσθαι καὶ λαφυραγωγεῖν. τὰ δ' ἐκ τῶν πολεμίων ληφθέντα ἐδεκατεύοντο θεοῖς· διὸ κυρίως δεκατεῦσαι τὸ καθιερῶσαι, κατὰ μεταφορὰν δὲ καὶ τὸ δεκάτην ὁπωσῦν λαβεῖν καὶ ἀπαιτῆσαι :– E. § 77.

κατεύοντες" ἀντὶ τοῦ τὴν δεκάτην εἰσπραττόμενοι καὶ οἷον λαφυραγωγοῦντες· τὰ γοῦν ἐκ τῶν πολεμίων ληφθέντα ἐδεκάτευον τοῖς θεοῖς. Δημοσθένους δ' ἐν τῷ κατὰ Μέδοντος περί τινος παρθένου λέγοντος οὕτως "οὐ δεκατεῦσαι ταύτην οὐδὲ μυῆσαι," Δίδυμος ὁ γραμματικὸς περὶ τούτου βιβλίον γράψας φησὶν ὅτι τὸ δεκατεῦσαι Λυσίας ἐν τῷ περὶ τῆς Φρυνίχου θυγατρὸς ἀρκτεῦσαι εἴρηκεν. δεκατεῦσαι μέντοι, φησίν, κυρίως ἐλέγετο τὸ καθιερῶσαι, ἐπειδήπερ ἔθος ἦν Ἑλληνικὸν τὰς δεκάτας τῶν περιγινομένων τοῖς θεοῖς καθιεροῦν. ἴσως δὲ τὸ ἀρκτεῦσαι δεκατεῦσαι εἴρηκεν ὁ ῥήτωρ, ἐπειδὴ αἱ δεκετίδες ἤρκτευον.

δεκατευτάς ἀντὶ τοῦ τελώνας τοὺς τὴν δεκάτην ἐκλέγοντας Ἀντιφῶν ἐν τῇ πρὸς Δημοσθένους γραφὴν ἀπολογίᾳ. ὅτι δὲ ἦν τελώνιον ἡ δεκάτη, δεδήλωκε Δημοσθένης ἐν τῷ περὶ τῶν τελῶν.

δεκατηλόγος ὁ αὐτὸς τῷ δεκατευτῇ.

Δεκελεικὸς ὁ Πελοποννησιακὸς πόλεμος, ἀπὸ μέρους τοῦ τελευταίου.

Δελφίνιον χωρίον ἐν Χίῳ, ὡς Θουκυδίδης ἐν τῇ η΄. ἕτερον δ' ἐστὶ Δελφίνιον Ἀθήνησιν ἱερὸν Ἀπόλλωνος, ἔνθα ἦν καὶ τὸ ἐν Δελφινίῳ δικαστήριον· Δημοσθένης ἐν τῷ πρὸς Βοιωτόν.

Δερκυλλίδας Λακεδαιμονίων βασιλεύς.

δερματικόν· Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ 'ἀπολογισμὸς ὧν πεπολίτευται.' δερματικὸν ἂν εἴη λέγων ὁ ῥήτωρ τὸ ἐκ τῶν δερματίων τῶν πιπρασκομένων περιγιγνόμενον ἀργύριον.

δερμηστής· Λυσίας ἐν τῷ πρὸς Εὐπείθην. Δίδυμος μὲν ἀπο-

1. τὴν om B. 2. ἐδεκατεύοντο BCG. 3. δημοσθένης AB. δ' om C. μέδοντας A. 6. λυσίας om I. ὑπὲρ Valesius. ἀρκτεῦσαι om I. 7. ἐλέγετο κυρίως AB. 8. καθιεροῦν AC. ἦν om C. ἑλληνικῶν I. 9. περιγενομένων C. θ.] ἱεροῖς CG. 10. ἐπειδὴ αἱ] ἐ C. 11. ἀντὶ τοῦ] τοὺς E. 12. οὕτως ἀντιφῶν :- E. δημοσθένην γραφῇ, omissa ἀπολογίᾳ, ABC. om etiam I. δὲ om ABI. 14. τελωνῶν B, ἀτελειῶν Valesius. Leptin. 60. 15. post 17. B. 15. δεκατηλόγους τοὺς τὴν δεκάτην ἐκλέγοντας. ταὐτὸν ἄρα τοῖς δεκατευταῖς :- E. 18. δελφίνιον ἐστι μέν τι χωρίον ἐν χίῳ, ἐστι δὲ καὶ ἐν ἀθήναις ἱερὸν ἀπόλλωνος οὕτω καλούμενον, ἔνθα ἦν τὸ ἐν δελφινίῳ δικαστήριον :- E. ἐν τῇ] ὁ A, om BI. c. 38. 20. τῇ I. pro dote 11. 21. δερκυλίδας ὄνομα κύριον βασιλέως λακεδαιμονίων E. στρατηγός Valesius. 22. Λυκοῦργος] v. Boeckh. Inscript. 157. λυκοῦργος λέγει τὸ ἐκ — E. λογισμὸς B. 23. τὸ om A. τῶν om C. 24. δερματίνων B. περιγενόμενον C, om B. 25. δερμαιστής. λυσίας μὲν τὸν σκώληκά φησιν οὕτω λέγεσθαι, ἀρίσταρχος δὲ τὸν ὄφιν. εἴη δ' ἂν μᾶλλον ὁ τὰ δέρματα ἐσθίων ἑτοιμότερον (ἐτυμώτερον?) οὕτω καλούμενος :- E. δερμιστής codices. εὐπείθη A.

δίδωσι τὸν σκώληκα ὅτω λέγεσθαι τῷ Σοφοκλεῖ ἐν Νιόβῃ, ἐν ζ' τῆς ἀπορεμένης λέξεως, Ἀρίςαρχος δὲ τὸ Σοφόκλειον ἐξηγέμενος τὸν ὄφιν ἀπέδωκε. μήποτε δὲ μᾶλλον ἂν εἴη ὄςις τὰ δέρματα ἐσθίει δερμηςής, ὡς ὑποσημαίνεται κ̀ ἐν ς' Μιλησιακῶν Ἀριςείδε.

δευσοποιός. κυρίως μὲν ἐπὶ τῆς πορφύρας λέγεται τὄνομα τῆς ἔμμονον κ̀ ἀνέκπλυτον ἐχέσης τὸ ἄνθος τῆς βαφῆς· ἐκ μεταφορᾶς δὲ κ̀ ἐπὶ τῶν ἄλλων πάντων τῶν ἐχόντων τὸ χρῶμα ἔμμονον κ̀ πολυχρόνιον τὸ δευσοποιὸν λέγεται παρὰ τοῖς παλαιοῖς, ὡς κ̀ Πλάτων διασαφεῖ ἐν ε' Πολιτείας. Δίφιλος Συντρόφοις "ἀγαθὸς βαφεὺς ἔνεςιν ἐν τῷ παιδίῳ· ταυτὶ γὰρ ἡμῖν δευσοποιὰ παντελῶς τὰ σπάργαν' ἀποδέδειχεν."

Δημαίνετος ὄνομα κύριον.

Δηλιαςαὶ οἱ εἰς Δῆλον ἐξελθόντες θεωροί· Λυκῦργος κατὰ Μενεσαίχμε.

δήμαρχος· Λυσίας ἐν τῷ κατὰ Μόσχε. ἄρχων τις ἦν ὁ δήμαρχος· ὅτοι δὲ τὰς ἀπογραφὰς ἐποιῦντο τῶν προσόντων ἑκάςῳ δήμῳ χωρίων. ἔτι δὲ κ̀ τὰ ληξιαρχικὰ γραμματεῖα παρὰ τέτοις ἦν, κ̀ συνῆγον τὲς δήμες ὁπότε δεήσειεν, κ̀ ψῆφον αὐτοῖς ἐδίδοσαν. τέτες δέ φησιν Ἀριςοτέλης ἐν Ἀθηναίων πολιτείᾳ ὑπὸ Κλεισθένες καταςαθῆναι, τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις. ὅτι δὲ ἠνεχυρίαζον οἱ δήμαρχοι, δηλοῖ Ἀριςοφάνης ἐν Σκηνὰς καταλαμβανέσαις.

δημόκοινος ὁ δημόσιος βασανιςής. Ἰσοκράτης ἐν τῷ Τραπεζιτικῷ σχεδὸν ἐξηγήσατο τὄνομα.

δημοποίητος ὁ ξένος μὲν ὢν τῇ φύσει, ὑπὸ δὲ τῦ δήμου

3. εἴη ἂν A. 4. δερματιςής N. ς^{ω} C, τῷ ἕκτῳ N. 6. ἀριςοτέλης B. 6. τὄνομα καὶ τῆς B. 7. ἀνέκλυτον ABCGI: correxit Maussacus. 9. πολυχρόνιον :– E. τὸ om C. 10. ε] ι^{ω} BCG. imino 4 p. 184 5. Δίφιλος — 12. om C. 11. ἔςιν I. πεδίῳ ABI. ταύτῃ ABIN. 12. ἀποδεδείχθω ABIN. 13. om C. 14. ἐκ δήλε C. ἐξερχόμενοι N. ὅτω λυκῦργος :– E. 16. δήμαρχος. ἑκάςε δήμε τῶν ἐν ἀθήναις ὁ κατάρχων δήμαρχος ἐλέγετο. ὅτοι DE. Λυσίας om A. 17. προσόντων add DE. eius loco ἐν N cum Boeckhio Oec. civ. 2 p. 47. 18. καὶ om C. παρ' αὐτοῖς ἦν. ἀλλὰ καὶ σ. DE. 19. ἦν om C. 20. ἐδίδοσαν. καὶ ἐνεχύραζον δὲ ὅτοι :– DE. τέτοις I. 22. ἐνεχύραζον AN, ἐνεχυρίαζον BI. 23. σκηναῖς ABCIN. 24. βασανιςής :– E. § 15. 26. ὁ φύσει μὲν ξένος DE.

πολίτης γεγενημένος. ὃν δὲ τρόπον γίνονταί τινες δημοποίητοι, δεδήλωκε Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ γνήσιος.

δημόσιος· Δημοσθένης Φιλιππικοῖς. δημοσίους λέγουσι τοὺς τῆς πόλεως δούλους. Αἰσχίνης κατὰ Τιμάρχου "ἄνθρωπον δημόσιον οἰκέτην τῆς πόλεως."

δημοτελῆ καὶ δημοτικὰ ἱερὰ διέφερον ἀλλήλων καὶ τῶν ὀργεωνικῶν καὶ τῶν γενικῶν, ὡς Δείναρχος δηλοῖ ἐν τῷ κατὰ Στεφάνου.

δημοτευόμενος. δημοτεύεσθαί ἐστι τὸ τοῦδέ τινος δήμου κοινωνεῖν καὶ χρηματίζειν ἀπ' αὐτοῦ· Ἀντιφῶν ἐν τῇ πρὸς Φίλιππον ἀπολογίᾳ, εἰ γνήσιος.

Δημοφάνης ὄνομα κύριον.

διαγορεύων. Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ἰδίως κέχρηται τῷ διαγορεύων ἀντὶ τοῦ διάφορα καὶ οὐ τὰ αὐτὰ λέγων. τὸ ἐναντίον γάρ ἐστι παρ' αὐτοῖς τὸ διαγορεύειν τῷ συναγορεύειν, ὥσπερ τὸ συμφέρεσθαι τῷ διαφέρεσθαι καὶ τὸ συμπολιτεύεσθαι τῷ διαπολιτεύεσθαι καὶ τὸ συμφωνεῖν τῷ διαφωνεῖν.

διάγραμμα· Ὑπερίδης ἐν τῷ πρὸς Ἐπικλέα. τὸ ταττόμενον ἐν ταῖς συμμορίαις ὁπόσον ἕκαστον ἄνδρα εἰσφέρειν δεῖ. ἐτάττετο δὲ οὐ τὸ αὐτὸ πᾶσιν, ἀλλὰ πρὸς τὴν τίμησιν τῆς οὐσίας. περὶ δὲ τούτων σαφέστατα δεδήλωκεν Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου περὶ διαγράμματος. διαγραφεὺς μέντοι ἐστὶν ὁ καθιστάμενος ἐν ταῖς συμμορίαις ἐπὶ τῷ διακρῖναι πόσον ἕκαστος ἀνὴρ εἰσενεγκεῖν ὀφείλει, ὡς ὁ αὐτὸς πάλιν φανερὸν ποιεῖ ἐν τῷ κατὰ Πολυεύκτου.

διαγραφὴ ἡ διατύπωσις τῶν πιπρασκομένων μετάλλων, δη-

1. γεγονὼς DE. 2. δεδήλωκε om C. § 88. 3. Δημ. Φιλ. om E. ἐν φιλιππικοῖς I. Olynth. 2 19. 4. δούλους :- E. § 54. 5. ἱκέτην I, καὶ οἰκέτην N. 6. τῶν add DE. ὀργ.] γεοργικῶν E. 7. γενικῶν :- C. 9. δημοτευόμενοι BC. 10. καὶ om C. αὐτοῦ :- E. 12. om ABCI, add ex O Maussacus. 13. διαγωρεύω C, διάγορεύων ἀντὶ τοῦ διάφορα καὶ οὐ τὰ αὐτὰ λέγων. οὕτως Ἰσαῖος. τὸ δὲ ἐναντίον συναγορεύειν, ὥσπερ ἐναντίον καὶ τὸ συμφέρεσθαι πρὸς τὸ διαφέρεσθαι καὶ τὸ συμφωνεῖν πρὸς τὸ διαφωνεῖν :- E. ἰδία I. τὸ A, om BCG. 14. διαγορεύειν BG, om C. τοῦ τὰ δ. A. λέγειν CG. 15. τὸ G. συνηγορεῖν B. ὥστε N, ὥσπερ καὶ G. 16. τῶ σ. καὶ τὸ δ. C. τῶ διαπολιτεύεσθαι om AI. 18. διαγραμματα το ταττ. E. ἐπικλέους I. 19. ἄνδρα om DE. 20. τὴν om I. 21. περὶ — 22. διαγράμματος om E. 21. ὑπερίδης] ἰσοκράτης N. 22. πολύευκτον I. ἐστὶν om C. 23. καθήμενος A. τὸ D. 24. ἀνὴρ om DE. ἀφείλει εἰσενεγκεῖν C. ὀφείλει :- E. ὁ om BCI. 26. μετ' ἀλλήλων I.

λῦσα διὰ γραμμάτων ἀπὸ ποίας ἀρχῆς μέχρι πόσυ πέρατος πιπράσκεϑ.

διαγράψασθαι Λυσίας ἐν τῷ κατὰ Νικιδίυ, εἰ γνήσιος, ἀντὶ τῦ ἀνελέσθαι τὸ ἔγκλημα.

διαδόσεις τὰς ἐκ διαιρέσεως ἴσης ἐπιβαλλύσας δόσεις Λυσίας.

διακεχρημένον ἀντὶ τῦ κατὰ μέρος δεδανεισμένον Δημοσθένης κατ' Ἀφόβυ.

διάστασις. Ἀντιφῶν Ἀληθείας β' "περὶ τῆς νῦν κρατύσης διαστάσεως" ἀντὶ τῦ διακοσμήσεως τῶν ὅλων.

διαγράψαντος· Δείναρχος κατὰ Λυκύργυ. μήποτε ἀντὶ τῦ καταβαλόντος ϗ καταθέντος. ἔνιοι δὲ ἀντὶ τῦ διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν ἐν τῇ συνηθείᾳ.

διάθεσις ἀντὶ τῦ πρᾶσις Ἰσοκράτης Βυσίριδι. ἀντὶ δὲ τῦ ἀποδεδόμεθα διεθέμεθα εἶπεν Ἀντιφῶν ἐν τῷ πρὸς τὴν Καλλίυ ἔνδειξιν, ϗ ἀντὶ τῦ διοίκησις ὁ αὐτὸς ἐν τῷ περὶ ὁμονοίας "ἀλλὰ εἰδότες τὴν διάθεσιν ἀκύυσιν." Φρύνιχος Τραγῳδοῖς "τῇ διαθέσει τῶν ἐπῶν" φησί. ϗ γδ τὸ ῥῆμα διαθέσθαι λέγυσιν ἐπὶ τῦ διοικῆσαι· Ἀντιφῶν Ἀληθείας α' "γυμνωθεῖσα δὲ ἀφορμῆς πολλὰ ἂν ϗ καλὰ κακῶς διαθεῖτο." διαθέσθαι ἀντὶ τῦ συνθέσθαι Ὑπερίδης κατὰ Δημοσθένυς.

διάληξις. διαλαγχάνειν τὸ κλήρῳ διαιρεῖσθαι, διάληξις δὲ τὸ πρᾶγμα· Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνυ.

διὰ μέσυ τείχυς· Ἀντιφῶν πρὸς Νικοκλέα. τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, ὡς ϗ Ἀριστοφάνης φησὶν ἐν Τριφάλητι,

1. nonne ποίυ? πιπράσκεται πέρατος A. 3. Λ. — γνήσιος om E. κατευνικιδίυ I. 5. ἴσως N. ἐπιβαλύσας AB. 7. μετὰ φόβου C, om E. addit C διαδικασία οὐχ ἁπλῶς πᾶσα δίκη, ἀλλ' ἐν αἷς περί τινος ἀμφισβήτησις ἐστί. 8. ἀντιφῶν ἀντὶ τοῦ διακόσμησις :– E. δευτέρα C. 10. διαγράψαντες I. ἀντὶ τῦ] ἂν C. 11. καταθ.] ἀποτεθέντος C. 12. ἐλέγομεν A. 13. διάθεσις ἰσοκράτης ἀντὶ τῦ πρᾶσις, ἀντιφῶν δὲ ἀντὶ τῦ διοίκησις, καὶ διαθέσθαι ἐπὶ τῦ διοικῆσαι. παραλαμβάνεται δὲ τὸ διαθέσθαι καὶ ἀντὶ τῦ συνθέσθαι, ὡς ὑπερίδης καὶ δημοσθένης :– DE. § 14. ἀντὶ δὲ τῦ om B, δὲ om I. 14. ἀποδιδόμεθα A, ἀποδεδείγμεθα I. διεθέμεθα N, δοώμεθα B, δὴ διώσμεθα AI. διεθέμεθα — 19. διαθεῖτο om C. 15. καὶ ἀντὶ] ἀντὶ B, ἀντὶ δὲ AI. διοικήσας A, διοικήσεις BI. ἐν τῷ om A. 16. τραγωγοῖς I. 18. πρώτη N, om I. 19. δὲ] ἂν B. καλὰ om B. διαθοῖτο I. ἀντὶ] καὶ ἀντὶ N. 20. ὑπερείδης· δημοσθένης N. 21. δὲ] δέ ἐστι ABCI. 22. πρᾶγμα :– E. 23. μέσυ τῦ τείχυς A. Ἀντ. πρὸς N. et 24. ὡς — Τρ. om E.

τȢ τε βορείȢ ϗ τȢ νοτίȢ ϗ τȢ Φαληρικȣ, διὰ μέσȣ τȣ́των ἐλέγετο τὸ νότιον, ὃ μνημονεύει ϗ Πλάτων ἐν Γοργίᾳ.

διαχειροτονία διάκρισις τῆς χειροτονίας ἐν πλήθει γινομένης· Δημοσθένης ἔν τε τῷ κατὰ Τιμοκράτȣς ϗ κατ᾽ Ἀνδροτίωνος.

διαμεμετρημένη ἡμέρα. μέτρον τι ἐςὶν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάςημα ῥέον· ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί· πρὸς δὴ τȣ̃το ἠγωνίζοντο οἱ μέγιςοι ϗ περὶ τῶν μεγίςων ἀγῶνες. διενέμετο δὲ τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζȣσι. ταῦτα δὲ σαφέςατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ ϗ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος· Ἀριςοτέλης δ᾽ ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει περὶ τȣ́των. σκεπτέον δὲ τὸ παρ᾽ Ἰσαίῳ ἐν τῷ κατ᾽ Ἐλπαγόρȣ ϗ Δημοφάνȣς, πῶς μεμετρημένης τῆς ἡμέρας ὁτὲ μέν φησι χωρὶς ὕδατος γίνεσθαι τȣ̀ς ἀγῶνας, ὁτὲ δὲ πρὸς ὕδωρ.

διάμετρον τὸ ἐλλεῖπον ἀπὸ τȣ̃ δικαίως μετρηθέντος· Δείναρχος ἐν τῇ κατὰ Καλλισθένȣς εἰσαγγελίᾳ.

διασκευάσασθαι ἀντὶ τȣ̃ σκευάσασθαι Ἰσαῖος ἐν τῷ πρὸς Καλλικράτην.

διασείςȣς· Αἰσχίνης κατὰ Τιμάρχȣ. ἐοίκασιν ὠνομάσθαι παρὰ τὸ κινεῖσθαι ϗ διασείεσθαι πρότερον, εἶτα βάλλεσθαι, ἵν᾽ ἀκακέργητοι μᾶλλον ὦσι· Μένανδρος Πωλȣμένοις.

διαψήφισις ἰδίως λέγεται ἐπὶ τῶν ἐν τοῖς δήμοις ἐξετάσεων, αἳ γίγνονται περὶ ἑκάςȣ τῶν δημοτευομένων, εἰ τῷ ὄντι πολίτης ϗ δημότης ἐςὶν ἢ παρεγγέγραπται ξένος ὤν· Αἰσχίνης κατὰ Τιμάρχȣ. ἐντελέςατα δὲ διείλεκται περὶ τῶν διαψηφίσεων, ὡς γε-

1. νοτείȣ et 2. νότειον N. 1. τȣ́των] τῶν παρ᾽ ἑκάτερα DE. 2. καὶ om BC. p. 22 16. 4. τȣ̃το δημοσθένης :- E. § 25. § 9. 6. πρὸς] ὡς E. 9. τρία DE, εἰς τρία ABCI. 10. δὲ ante τρίτον om ABI. τρίτον om C. ταῦτα — 13. τȣ́των om E. 12. de Fl. 126? τῇ om G. 13. ἐπισκεπτέον DE. δὲ τῷ E, δ᾽ ἐν τῷ BCG, τὸ I. 14. ἐν — πῶς] ὃς E. δημοσθένȣς ABC, δημοσθένης I. 15. vulgo φασι. φησι post ὕδατος DE. 17. διάμετρον. διάμετρον δείναρχος λέγει τὸ — μετρηθέντος :- F. δικαίȣ C. μετρηθῆναι D. 18. κατὰ om ABC. 19. σκευάσ. -- Καλλ.] συσκευάσασθαι ἴσως :- E. καλλιςράτην I. 21. διασείςȣς. ἐοίκασιν ὠνομάσθαι οἱ διάσειςοι παρὰ — ὦσιν :- F. T. 59. περὶ C. 23. πολεμȣμένοις C. 24. τοῖς om N. 26. παραγέγραπται BCI. ξένος ὢν παρεγγέγραπται :- E. § 77. 27. ἐκτελέςατα C.

γόνασιν ἐπὶ Ἀρχίȣ ἄρχοντος, Ἀνδροτίων ἐν τῇ Ἀτθίδι καὶ Φιλόχορος ἐν ϛʹ τῆς Ἀτθίδος.

διαμαρτυρία ϗ διαμαρτυρεῖν. τρόπος τις ἦν παραγραφῆς ἡ διαμαρτυρία· πρὸ γδ' τȣ̃ εἰσαχθῆναι τὴν δίκην εἰς τὸ δικαϛήριον ἐξῆν τῷ βȣλομένῳ διαμαρτυρῆσαι ὡς εἰσαγώγιμός ἐϛιν ἡ δίκη ἢ ȣ̓κ εἰσαγώγιμος. διαφέρει δὲ τῆς παραγραφῆς τῷ τὴν διαμαρτυρίαν γίνεσθαι ȣ̓ μόνον ὑπὸ τῶν φευγόντων ἀλλὰ ϗ ὑπὸ τῶν διωκόντων. ϗ πρότερόν γε τῷ διώκοντι ἦν προβάλλεσθαί τινα μαρτυρȣ̃ντα εἰσαγώγιμον εἶναι τὴν δίκην, ϗ περὶ τȣ́τȣ πρότερον ἐγίνετο ἡ κρίσις πρὸς αὐτὸν τὸν διαμαρτυρήσαντα, ȣ̓ πρὸς τὸν ἐξ ἀρχῆς δικαζόμενον· εἰ δὲ μὴ προβάλοιτο μάρτυρα ὁ διώκων, τότε ἐξῆν τῷ φεύγοντι προσαγαγεῖν τινὰ μαρτυρȣ̃ντα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, ϗ πάλιν πρὸς τὸν διαμαρτυρήσαντα ὁ ἀγὼν ἐγίνετο. ἐπεσκήπτοντο δὲ ψευδομαρτυριῶν ϗ ταῖς διαμαρτυρίαις, ὥσπερ ταῖς μαρτυρίαις· Λυσίας ἐν τῇ πρὸς Ἀριϛόδημον διαμαρτυρίᾳ, εἰ γνήσιος ὁ λόγος. Ἰσαῖος δ' ἐν τῷ πρὸς Πύθωνα ἀποϛασίȣ φησὶν ὅτι ȣ̓χ οἷόν τε διαμαρτυρεῖν ȣ̓σίαν· Ὑπερίδης δ' ἐν τῷ κατ' Ἀριϛαγόρας ἀπροϛασίȣ βʹ φησὶν ὡς οἱ νόμοι κελεύȣσι διαμαρτυρεῖν ἐπὶ ταῖς γραφαῖς ταῖς τȣ̃ ἀπροϛασίου τὸν βȣλόμενον ὁμοίως τῶν ξένων ϗ τῶν ἐπιχωρίων. μήποτ' ȣ̓̃ν ἐν μὲν ταῖς τȣ̃ ἀποϛασίȣ δίκαις κεκώλυνται διαμαρτυρεῖν οἱ ξένοι, ἐν δὲ ταῖς τȣ̃ ἀπροϛασίȣ ȣ̓ κεκώλυνται. Δείναρχος

1. τῇ om B. 2. ϛʹ C. [η] 3. ἦν τῆς διαγραφῆς ἡ διαμαρτυρία C, ἦν ἡ μαρτυρία παραγραφῆς E. 4. γὰρ om B. 5. ἐξῆν — 6. δίκη om A. 6. δίκη] δίκη εἰς τὸ δικαϛήριον BCG. δίκη ἢ ȣ̓κ εἰσαγώγιμος om I. 7. τὸ C. τὴν] τὴν μὲν DE. 8. ὑπὸ om N. γε ὁ διώκων πρȣ̓βάλλετο DE, γε τῷ τὴν δίκην ἦν προβάλλεσθαι I. 9. aptius, opinor, προβαλέσθαι. 10. πρῶτον DE. ἡ om D. 11. διαμαρτυρȣ̃ντα (ήσαν) A. ȣ̓ — 14. διαμαρτυρήσαντα om I. 12. προβάλοιτο DE, πρȣ̓βάλλετο ABC, προβάλλει N. 13. δίκην :- C. 14. ἐπεσκέπτοντο A, ἐπεσκέπτετο I. 15. ὥσπερ ταῖς μαρτυρίαις om B, ταῖς om D. 16. μαρτυρίαις. τάχα δ' ἐπὶ μὲν ταῖς τȣ̃ ἀποϛασίȣ δίκαις ἐκεκώλυτο τὸ διαμαρτυρεῖν, ἐν δὲ ταῖς τȣ̃ ἀποϛασίȣ ȣ̓κέτι :- F. 17. ὁ λόγος om I. δ' om I. πίθωνα A. 18. ὅτι ξένῳ ȣ̓χ Dobraeus p. 586. ȣ̓σίαν] ἀποϛασίου Valesius. ὁ ὑπερίδης A. δ' om B. 19. ἀριϛαγόρȣ ABI, ἀριϛογόνȣ N. ἀποϛασίȣ B. δευτέρȣ I, om ABN. κελεύθȣσι I. 20. ταῖς τȣ̃] καὶ τȣ̃(ῶν) (ων) N. ἀποϛασίȣ B. 21. τὸν ξένον I. 22. μὲν post ταῖς B, om A. διαμαρτυρεῖν — 23. κεκώλυνται om BI.

μέντοι διαμαρτυρῆσαι τεθεώρηκεν οὐκ ἐπὶ τοῦ μαρτυρήσαντος αὐτοῦ ἀλλ' ἐπὶ τοῦ παρασχόντος τινὰ διαμαρτυρήσαντα ἐν τῇ διαμαρτυρίᾳ περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα. οὗτος δὲ ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἡδύλης ϗ τὸν τρόπον διαγράφει τῆς διαμαρτυρίας.

διαιτηταί· Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. εἰσὶ δὲ οἱ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν· οὗτοι μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις ϗ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον, οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κρινομένων τοῖς κρινομένοις διῄτων. ϗ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα ϗ τὰς προκλήσεις ϗ τὰς μαρτυρίας, ἔτι δὲ ϗ τοὺς νόμους ϗ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους ϗ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. λέγει δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

διαστῆσαι ἀντὶ τοῦ διαταράξαι ϗ οἷον ἀδύνατον ποιῆσαι Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. Μένανδρος Χήρᾳ "βοῶν ποιείτω τὴν πόλιν διάστατον."

διδάσκαλος. ἰδίως διδασκάλους λέγουσι τοὺς ποιητὰς τῶν διθυράμβων ἢ τῶν κωμῳδιῶν ἢ τῶν τραγῳδιῶν. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ χορευτοῦ "ἔλαχον" φησι "Παντακλέα διδάσκαλον·" ὅτι γὰρ ὁ Παντακλῆς ποιητής, δεδήλωκεν Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις. πολὺ δ' ἐστὶ κἀν τῇ ἀρχαίᾳ κωμῳδίᾳ τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου.

διεγγύησιν ἀντὶ τοῦ κατάστασιν ἐγγυητῶν Δημοσθένης κατὰ

1. μέντοι τὸ διαμαρτυρῆσαι τέθεικεν? οὐκ ἐπιμαρτυρήσαντος AB. 2. ἐν τῇ διαμαρτυρίᾳ om I. 3. μὴ om N. 4. οὕτως A. εἰδύλης A. 6. διαιτητής AI, διαιτηταῖς BDEN. διαιτηταῖς. ἕτεροι παρὰ τοὺς δικαστάς εἰσιν οἱ διαιτηταί· οἱ μὲν E. ἐν τῷ om A. § 83. 7. ἕτεροι — 9. διαιτηταὶ om I. 8. ἀποδεδειγμένοις om E. ἀφεσίμους E. 9. κλήρω πρότερον A. ἐπιστρεψάντων A. 10. τῶν κρινομένων om E. κληρωμένοις BC. 12. καὶ τὰς μαρτυρίας om C, τὰς om E. 13. πίστεις] πλείστης E. ἑκατ.] ἑκαρτέρων BC. δίσκους A. 14. δικῶν :— E. 15. ἐν om I. 16. διαστῆσθαι I, διασεῖσαι O. ποιῆσαι :— E. 17. τῆς om BC. διαστάσεως A. χηραιβῶν BC, ηραι βοῶν I, χηραιβοῶν N. 18. ποιήτω C. διαστατῶν ABCIN : correxit Valesius. 19. ἰδίως δὲ δ. BC. ποιητὰς καὶ τῶν δ. ἢ τῶν κωμ. καὶ τῶν C. 20. τραγῳδῶν :— E. 21. τοῦ om BC. § 11. πεντακλέα et 22. διδασκαλίαις πεντακλῆς A. 22. πολιτείαις A. 23. καὶ I. 25. δημοσθένης :— E.

Τιμοκράτυς. ἐν δὲ τῷ κατὰ Νεαίρας, εἰ γνήσιὸς ὁ λόγος, φησὶ "διεγγυηθεῖσά ὑπὸ τῦ Στεφάνυ."

διεκωδώνισε Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας ἀντὶ τῦ διεπείρασε ϰ̀ ἐξήτασεν. ἡ δὲ μεταφορὰ ἤτοι ἀπὸ τῶν περιπολέντων σὺν κώδωσι νυκτὸς τὰς φυλακάς, Εὐριπίδης Παλαμήδει, ἢ ἀπὸ τῶν δοκιμαζόντων τὺς μαχίμυς ὄρτυγας τῷ ἤχῳ τῦ κώδωνος, ὡς Ἀρίςαρχος.

δι' ἐνιαυτῦ ἀντὶ τῦ δι' ὅλυ τῦ ἐνιαυτῦ Ἀντιφῶν περὶ τοῦ Λινδίων φόρυ. Τηλεκλείδης δ' ἐν τῷ Πρυτανείῳ δι' ἡμέρας εἶπεν ἀντὶ τῦ δι' ὅλης τῆς ἡμέρας.

διεσπευσάμην ἀντὶ τῦ διὰ σπυδῆς ἐποιησάμην ἢ ἀντὶ τοῦ διεπραξάμην Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα περὶ ἐγγύης.

διεσκαριφησάμεθα· Ἰσοκράτης Ἀρεοπαγιτικῷ. σκαριφήσασθαί ἐςι τὸ ἐπισεσυρμένως τι ποιεῖν ϰ̀ μὴ κατὰ τὴν προσήκυσαν ἀκρίβειαν.

διετείνοντο. ἰδίως Ἀντιφῶν τῦτ' ἔταξεν ἐν τῷ περὶ τῦ Ἡρώδυ φόνυ, ἀντὶ τῦ διὰ συντόνυ σπυδῆς ἀπηρνήσαντο.

διήλλαξεν ἀντὶ τῦ μετήλλαξεν, ἐτελεύτησεν, Λυκῦργος ἐν τῷ περὶ τῆς ἱερείας.

διῆρξα ἀντὶ τῦ διὰ τέλυς ἦρξα Λυσίας ἐν τῇ πρὸς τὴν Μιξιδήμυ γραφὴν ἀπολογίᾳ.

Διιπόλια. ἑορτή τις ἦν Ἀθήνησι τὰ Διιπόλια· Ἀντιφῶν ἐν τῷ περὶ τῦ χορευτῦ.

Δικαιογένης. τραγῳδίας ἔτος ποιητής. ϰ̀ διθυράμβυς ἔγραψε.

1. § 73. νεαίρυ I. § 41. φησὶ om I. 2. ἐγγυηθεῖσα ABC, ἐγγυηθεῖσαν I: praepositionem add Valesius. τῦ om I. 3. Δημ. — πρ. om E. § 167. 4. ἐξήτατεν corr A, ἐξήτησεν N. ἢ E.
5. σὺν] τοῖς CE. παραμήδει I, παρὰ μήδει C: om cum ipso Εὐριπίδης E.
6. διωκόντων BCG. τὰς AB. 7. ὡς Ἀρ. om E. 8. τῦ ἐνιαυτῦ καὶ δι' ἡμέρας ἀντὶ τῦ δι' ὅλης ἡμέρας :- E. 9. λινδῶν ABIN. τοῖς Πρυτάνεσι Maussacus. 10. τῆς om EI. 11. διεσπασάμην I. ἀντὶ τῦ post ἢ om C. 12. διεπραξάμην :- E. ἕρμονα I, ἑρμῶνα N.
13. διεσκαριφισάμεθα E, δὲ ἐσκαριφησάμεθα ABIN, δὲ ἀντὶ τῦ ἐσκαριφησάμεθα N. Ἰσ. Ἀρ. om E. § 12. σκαριφίσασθαι E, ἐσκαριφήσασθαι ABN, διεσκαριφήσασθαι C. 14. ἐςι om C. 16. διετείναντο? ἔταξε τῦτο A, τῦτ' ἔπραξεν I, om E. ἐν — φόνυ om E. § 46?
17. διὰ om C. ἀπηρνήσατο I. 18. ἐτελεύτησεν :- E. 19. τὰς ἱερείας τὰ διιπόλεια I. 20. λυσίας :- E. τὴν] τῇ I. μιξιδίμυ A, μαξιδήμυ I, μιξήμυ B, μιξίμυ C. 22. διιπόλεια BEIN, διηπόλεια C. ἦν post ἀθήνησι I, om BCEG. διιπόλεια :- E. 23. τῦ om C. χορ.] immo 2 4 8. 24 — p. 62 3. om C. 24. δικαιογένης ὄνομα κύριον, ὃς τραγῳδίας καὶ διθυράμβυς ἔγραψε E.

Δικαιόπολις· Λυσίας ἐν τῷ κατὰ Θρασυβέλε, εἰ γνήσιος. πόλις ἐν τῇ Θρᾴκῃ πλησίον Ἀβδήρων. τυχὸν δὲ ϗ ἑτέρα τίς ἐςι Δικαιόπολις.

δικαίωσις. Λυσίας ἐν τῷ περὶ τε̃ ςρατιώτε, εἰ γνήσιος, ϗ μάλα τὰς δικαιώσεις φησὶν ἀντὶ τε̃ δικαιολογίας. ὁ μέντοι Θεκυδίδης πολλάκις τὴν δικαίωσιν ἐπὶ τῆς κολάσεως τάττει.

δίκη. σημαίνει μὲν ϗ ἄλλα τὸ ὄνομα, ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἰδιωτικῶν ἐγκλημάτων, ὃ σαφὲς ποιεῖ Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος.

διοικεῖν ἀντὶ τε̃ διαιρήσειν, ὥςε μὴ ἐν ταὐτῷ πάντας οἰκεῖν ἀλλὰ χωρὶς ϗ κατὰ μέρος, Δημοσθένης ἐν ε΄ Φιλιππικῶν.

διοπεύων· Δημοσθένης ἐν τῷ κατὰ Λακρίτου. δίοπος λέγεται νεὼς ὁ διέπων ϗ ἐποπτεύων τὰ κατὰ τὴν ναῦν, ὁ καθ' ἡμᾶς λεγόμενος ἐπίπλες.

Διότιμος ὄνομα κύριον, ναύαρχος Ἀθηναίων.

Διόφαντος ὄνομα κύριον.

διωλύγιον. Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα "πράγματα διωλύγια" ἀντὶ τε̃ μεγάλα. ϗ Πλάτων.

διωμοσία κυρίως ἡ παρὰ τῶν διαδικαζομένων· Δημοσθένης κατ' Ἀριςοκράτες.

δοκιμασθείς ἀντὶ τε̃ εἰς ἄνδρας ἐγγραφείς Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος. λέγεται δὲ ϗ ἐπὶ τῶν ἀρχόντων τὸ δοκιμασθῆναι, ὡς αὐτὸς ὁ ῥήτωρ ἐν τῇ πρὸς Εὐβελίδην ἐφέσει δηλοῖ.

1. Λυσ. — γνήσιος om E. 2. τῇ om DE. αὐδήρῶν ABDI, αὐδήρων :- E. τυχὼν δὲ καὶ ἑτέρας B. 4. δικαίωσις λυσίας τὰς δικαιολογίας, θεκυδίδης δὲ τὰς κολάσεις λέγει :- E. ὑπὲρ Valesius. τε̃ add BC. 5. τῆ] τε̃ τὰς N. 7. τεὔνομα IN, om E. λέγεται post ἐγκλ. E. 8. ὡς δημ. ἐν τῶ κ. κ. δῆλον ποιεῖ E. § 1. 10. διοικεῖν BC. πάντα I, ταύτας A. 11. μέρος :- E. ἐν φιλιππικῶ A, ἐν ε̄ φιλιππ~~ικοῖς~~ (ῶν) I. de pace 10. 12. διοπεύων Toupius 3 p. 454, διοππεύων N: vulgo διοπτεύων. Δημ. — Λ. om E. κατὰ] εἰς τὴν I, πρὸς τὴν Valesius. § 20. δίοπτος BCDG, δίοπρος N. λέγεται ὁ διέπων καὶ ἐποπτεύων :- E. 15 et 16. om C. E διότιμος ὄνομα κύριον, καὶ διόφαντος ὁμοίως. 16. κύριον om BI. 17 et 18. διωλύγιον τὸ μέγα ἰσαῖος καὶ πλάτων E. 17. ςρατοκλέης B. πραγμάτων I. 19 et 20. om E. 19. δικαζομένων B, δικακομένων C. Δημ. om C, Δημ. — 21. ἐγγραφείς om B. 20. § 69. 21. δοκιμαςὴς δημοσθένης μὲν ἀντὶ τε̃ εἰς ἄνδρας ἐγγραφείς. λέγει γὰρ E. ἀντὶ] ἀντὶ μὲν N. 1 § 6 extr. 22. καὶ om BC. τὸ add DF. 23. ὡς — δηλοῖ om E. αὐτὸς ὁ ABCIN. § 25.

ἐλέγετο δὲ καὶ ἐπὶ τῶν πολιτευομένων, εἰ καὶ μηδ' ἡντιναοῦν ἦρχον ἀρχήν· ἐξητάζετο γὰρ αὐτῶν ὁ βίος ἐνίοτε, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου φησίν. Λυκοῦργος δ' ἐν τῷ περὶ τῆς διοικήσεως "γ' δοκιμασίαι κατὰ τὸν νόμον" φησὶ "γίνονται, μία μὲν ἣν οἱ θ' ἄρχοντες δοκιμάζονται, ἑτέρα δὲ ἣν οἱ ῥήτορες, τρίτη δὲ ἣν οἱ στρατηγοί." λέγει μέντοι ἐν τῷ αὐτῷ λόγῳ καὶ ἱππέων δοκιμασίαν.

Δορίσκος χωρίον τῆς Θρᾴκης· Δημοσθένης ὑπὲρ Κτησιφῶντος καὶ Ἡρόδοτος.

δόσις ἰδίως λέγεται παρὰ τοῖς ῥήτορσι συμβόλαιον γραφόμενον, ὅταν τις τὰ αὐτοῦ διδῷ τινὶ διὰ τῶν ἀρχόντων, ὡς παρὰ Δεινάρχῳ.

Δρακοντίδης εἷς τῶν λ'· Ὑπερίδης.

Δράκων. οὗτος ἐπιφανέστατος νομοθέτης, ὡς Αἰσχίνης. ἕτερος δ' ἐστὶ Δράκων οὗ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ μέμνηται.

Δρογγίλον Θρᾳκικὸν χωρίον· Δημοσθένης Φιλιππικοῖς.

δρομοκήρυκες· Αἰσχίνης. οἱ λεγόμενοι ἡμεροδρόμοι.

Δρυμός πόλις μεταξὺ Βοιωτίας καὶ τῆς Ἀττικῆς· Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας. Ἀριστοτέλης δ' ἐν τοῖς δικαιώμασί φησιν οὕτως "ἔπειτα Δρυμὸν ὃν Ἀττικὸν καὶ ἕτερον Βοιώτιον."

Δρῦς· Δημοσθένης κατ' Ἀριστοκράτους. πόλις ἐν Ἠπείρῳ. ἔστι δὲ καὶ ἑτέρα ἐν Θρᾴκῃ, ἧς νῦν ὁ ῥήτωρ μνημονεύει· ταύτην Θεόπομπος ἐν κς' φησὶν ὑπὸ Ἰφικράτους κατοικισθῆναι.

1. δὲ] γὰρ E. καὶ om C. πολ.] πολ. τὸ δοκιμασθῆναι E. εἰ καὶ DE, κἂν ABCI. ἥντινα E, ἠναντιῶν I. ἦρχον ἀρχήν DE, ἀρχὴν ἦρχον A, ἀρχὴν εἶχον BCG, ἀρχὴν εἶρχον I. 2. ἐνίοτε δὲ καὶ αὐτῶν ἐξητάζετο βίος E, omissis ὡς — φησίν. 3. § 28. λυκοῦργος δὲ γ̄ δοκιμασίας φησὶ κατὰ τὸν νόμον γίνεσθαι. καὶ γὰρ μία μέν ἐστιν ἣν οἱ θ̄ ἄρχοντες δ., ἄλλη δὲ — E. δ' om I. τῆς om C. 5. δὲ om B. 6. μέντοι] δὲ E. 8 — 9. om C. 8. χωρίον θρᾳκικόν :- DE. de FL 156. 9. καὶ om AB. ἡρόδοτος ξ̄ A, ἡρόδοτος ζ̄ B, ἡρόδοτος ξο N. est 5 98. 11. τὰ αὐτὰ I. διαδῷ διὰ E. ὡς παρὰ τῷ δ. I, om E. 13. Ὑπερίδης om E. 14. δράκων ἐπιφανέστατος γέγονε νομοθετῶν :- E. Αἰσχ. Tim. 6. 15. τῷ om I. § 144. 16. δρογγίλων ἐστὶ χωρίον θρακικόν :- E. de Cherson. 44. 17. δημοκήρυκες A. Αἰσχ. οἱ λεγόμενοι om E. de FL 130. 18. δρυμός. ἐν τῷ παραπρεσβείας δημοσθένης. πόλις ἐστὶ μεταξὺ β. καὶ τῆς ἀττικῆς :- DE. πόλις τῆς μετ. C. 19. § 326. δ' om BC. 20. δρυμῶν (ὸν) I. ἂν A, ἂν I. 21. δρῦς ἐστι μὲν πόλις ἐν ἠπείρῳ, ἐστι δὲ καὶ ἑτέρα ἐν θράκῃ :- E. § 132. 22. μνημονεύει ὁ ῥήτωρ νῦν A. 23. καταδικασθῆναι BC.

δυσάνιος· Ἀντιφῶν. ὁ ἐπὶ παντὶ ἀνιώμενος, κἂν μικρὸν ϗ εὐκαταφρόνητον ᾖ. ϗ Ἱπποκράτης ἐχρήσατό ȣ τῷ ὀνόματι ϗ Μένανδρος.

Δυσαύλης· Δείναρχος ἐν τῇ περὶ τῆς ἱερείας διαδικασίᾳ, εἰ γνήσιος. Ἀσκληπιάδης δ' ἐν δ' Τραγῳδȣμένων τὸν Δυσαύλην αὐτόχθονα εἶναί φησι, συνοικήσαντα δὲ Βαυβοῖ ϗεῖν παῖδας Πρωτονόην τε ϗ Νίσαν. Παλαίφατος δ' ἐν θ' Τρωϊκῶν σὺν τῇ γυναικί φησιν αὐτὸν ὑποδέξαϑȝ τὴν Δήμητραν.

δυσωπȣμαι ἀντὶ τȣ φοβȣμαι Δημοσθένης Φιλιππικοῖς ϗ Ξενοφῶν ἐν β'. Ἀπομνημονευμάτων.

Δωριεύς ὄνομα παγκρατιαςȣ.

δωροξενία· Λυσίας ἐν τῷ κατὰ Νικίȣ. ἐξηγήσατο τȣ̃νομα Ὑπερίδης ἐν τῷ κατ' Ἀριςαγόρας ȣ̃τω γράφων· "ἐπεὶ ϗ ὁ τῆς δωροξενίας νόμος ἁρμόττων ἐςὶ τῷ νῦν ἀγῶνι παραχθῆναι· εἰ γ̃ ϗ τȣ̀ς ἀποφυγόντας ξενίας εἴρηκεν ἐξεῖναι τῷ βȣλομένῳ πάλιν γράψαϑȝ, ἐὰν μὴ δοκῶσι δικαίως τὸ πρῶτον ἀποπεφευγέναι, πῶς ȣ̉ φανερόν ἐςι κατ' Ἀριςαγόρας τὸ δίκαιον;" καὶ Ἀριςοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων γράφει ταυτί· "εἰσὶ δὲ ϗ γραφαὶ πρὸς αὐτȣ̀ς, ὧν παράςασις τίθεϑ, ξενίας ϗ δωροξενίας, ἄν τις δῶρα δȣ̀ς ἀποφύγῃ τὴν συκοφαντίαν."

δώρων γραφή. ὁπότε τις αἰτίαν ἔχοι τῶν πολιτευομένων δῶρα λαβεῖν, τὸ ἔγκλημα τὸ κατ' αὐτȣ̃ διχῶς ἐλέγετο, δωροδοκία τε καὶ δώρων γραφή. Δείναρχος οὖν λόγον μέν τινα

1. δυσάνισος E. Ἀντιφῶν om ABCI. πάντων BI. 2. ἦν C, ἦι :– E. ȣ τȣ́τω τῶ B. 4. δυσαύλης. ȣ̃τος αὐτόχθων μὲν ἦν, συνῴκησε δὲ βαυβοῖ καὶ ἔσχεν παῖδας πρωτονόην τε καὶ νῆσαν :– E. τῶ A. 5. δ' om B. 6. φησὶ om ABCI. βαβοῖ A. 7. τε om A. νῆσαν DE, κνίσαν B. θ'] πρώτη A. 8. φασιν I. αὐτὸν om I. δήμητρα CG. 9. δυσωπȣ̃μαι δημοσθένης ἐν φιλιππικοῖς καὶ ξενοφῶν ἐν ἀπομνημονεύμασιν ἀντὶ τȣ̃ φοβȣ̃μαι :– DE. Phil. 3 65? καὶ om C. 10. δευτέρᾳ C. 11. om C. 11. παγκρατιατȣ̃ A. 12. δωροξενία· ὅταν τις γραφῇ ξενίας καὶ δῶρα δȣ̀ς ἐκφύγῃ τὴν συκοφαντίαν, δωροξενία λέγεται :– E, idque post Δώρων γραφή. νικίδȣ AI, νικήδȣ B. 13 et 17. ἀριςαγόρȣ plerique. 14. ἐςὶ] ἐπὶ A. πραχθῆναι N. 15. ξενίας om C. εἴρηκεν] ἔνεκεν BC. 16. δικαίως om C. 18. κάτα I. 20. παραςάσεις C. γίνεται N. 22. δωρογραφή. ὅταν DE. τις] τὴν I. αἰτίας D. ἔχοι E, ἔχῃ BD, ἔχει AC. 23. τὸ ante κατ' om BC. αὐτȣ̀ς A. διχῇ DE. δωροδοκίας Meierus p. 111. 24. γραφή :– E. ȣ̃ν] ȣ̃ν καὶ B, μὲν καὶ (omisso mox μέν) CG, malim γȣ̃ν.

ἐπέγραφε κατὰ Πολυεύκτȣ δωροδοκίας, ἐν δὲ τῷ κατὰ Πυθέȣ ξενίας πολλάκις ὀνομάζει τὴν τῶν δώρων γραφήν.

ἐάν τις γραψάμενος μὴ μεταλάβῃ τὸ έ μέρος τῶν ψήφων, ὀφλισκάνει χιλίας ϗ πρόσεςιν ἀτιμία τις. Λυσίας ἐν τῷ κατὰ τῶν ῥητόρων νόμȣ διείλεκ϶ περὶ τȣ́των ϗ Θεόφραςος ἐν τοῖς περὶ τῶν νόμων.

ἑβδομενομένȣ· Λυσίας ἐν τῷ πρὸς Ἐτεοκλέα περὶ χρημάτων, εἰ γνήσιος. τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδομάδας ϗ τὰς δεκάτας ἦγον, ϗ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς οἱ μὲν τῇ ἑβδόμῃ, ὡς ϗ ὁ ῥήτωρ λέγει, οἱ δὲ τῇ δεκάτῃ. Ἀριςοτέλης δ' ἐν θ' περὶ ζῴων ἱςορίας γράφει ταυτί· "τὰ πλεῖςα δὲ ἀναιρεῖται πρὸ τῆς ἑβδόμης, διὸ ϗ τὰ ὀνόματα τότε τίθεν϶ ὡς πιςεύοντες ἤδη τῇ σωτηρίᾳ."

ἐγγυθήκη. φέρεταί τις λόγος ὡς Λυσίȣ ἐπιγραφόμενος 'περὶ τῆς ἐγγυθήκης.' εἴη δ' ἂν σκεῦός τι πρὸς τὸ κρατῆρας ἢ λέβητας ἤ τι τȣ́των ȣ̓κ ἀλλότριον ἐπικεῖσϑαι ἐπιτήδειον εἶναι, ὡς Καλλίξενός τε ἐν δ' περὶ Ἀλεξανδρείας ὑποσημαίνει ϗ Δαΐμαχος ὁ Πλαταιεὺς ἐν β' περὶ Ἰνδικῆς.

ἑδωλιάσαι Λυκȣ̃ργος ἐν τῷ ἐπιγραφομένῳ 'ἀπολογισμὸς ὧν πεπολίτευται' ἐπὶ τȣ̃ συγκαθίσαι. ϗ ἑδώλια αἱ ἐν ταῖς ναυσὶ καθέδραι· Ἡρόδοτος α'.

ἔθνος ȣ̓ μόνον τὸ μέγα ϗ πολυάνθρωπον γένος, ἀλλὰ ϗ ἰδίως μέρος τι τῆς πόλεως. Δημοσθένης ἐν τῷ κατ' Ἀριςοκράτȣς "εἴ τις ὑμᾶς ἔροιτο τί πονηρότατον νομίζε϶ τῶν ἐν τῇ πόλει πάντων ἐθνῶν, ȣ̓́τε τȣ̀ς γεωργȣ̀ς ȣ̓́τε τȣ̀ς ἐμπόρȣς ȣ̓́τε τȣ̀ς ἐκ τῶν ἀργυρείων ȣ̓́τε τῶν τοιȣ́των ȣ̓δὲν ἂν εἴποιτε." ἐν δὲ τῷ

1. ἐπεγράφετο C. πυθέȣ C. 3. ἐάν DE: ceteri ἰςέον ὅτι ἐάν. μεταβάλῃ I. τὸ ἓν μέρος τῆς ψήφȣ E. 4. τις. τȣ̃το θεόφραςος ἐν τοῖς περὶ τὸν νόμον λεπτομερῶς διασαφεῖ :- E. ἐν τῷ] ὑπὲρ τȣ̃ Valesius. κατὰ ῥητόρων νόμω BC. 5. καὶ om BC. 7. ἑβδομενόμενα τοῖς ἀποτεχθ. — ἑβδόμῃ, οἱ δὲ τῇ δεκάτῃ :- E. 8. ἑβδόμας Dobraeus p. 586. 9. δεκάδας CG. 11. ἐν om B. περὶ τῆς τῶν ζ. BC. p. 588 8.

14. ἐγγυθήκη σκεῦός τι — εἶναι :- E. 16. τοιȣ̃τον DE. 17. δ] α^{ω} C. ἀποσημαίνει C. 19. Λυκ. — 20. πεπολίτευται om E. 20. ἀντὶ E. συγκαθήσαι E, συγκαθῆσαι D, καθέζεσθαι ABC. ἐδόλια DE, ἐδωλίαι AC.

21. α^{η} C, ᾱ AB genere, ut solent, non expresso. c. 24. 22. πολυάριθμον CG et corr B. 23. τῆς — 24. τί om ABC: add Valesius e Suida. Δημ.] ȣ̓́τως δημοσθένης E. ἀριςοκράτην καὶ ἐν τῷ ἐννάτῳ τῶν φιλιππικῶν :- E. § 146. 25. ȣ̓́τε τȣ̀ς ἐκ — 26. εἴποιτε om AB, — p. 66 4. om C.

ἐκδεξάμενος. Δημοσθένης ὑπὲρ Κτησιφῶντος "ἐκδεξάμενος ϗ γράψας." ἐκδέξασθαί ἐϛι τὸ παρ' ἑτέρȣ λαβόντα αὐτὸν ἐγχειρεῖν τὸ δεύτερον. ἐπισκεπτέον δὲ πῶς ἔχει τὸ ἐν ε' Φιλιππικῷ λεχθὲν ὑπὸ τȣ̃ ῥήτορος "ϗ τὸ δοκεῖν ἐκδέξασθ τῶν ἐκείναις πεπραγμένων."

ἐκδικάσασθαι ἀνάδικον ἐκπρᾶξαι διὰ τὸ δικάσασθ· Ἰσαῖος ἐν τῷ πρὸς Καλλικράτην.

ἔκδοσις τὸ ναυτικὸν δάνεισμα, οἱονεὶ ἔξω δόσις· Δημοσθένης κατ' Ἀφόβȣ.

ἐκκλητεύειν τὸ εἰς κρίσιν ἄγειν, ἵν' ἐπάναγκές τις μαρτυρῇ· Αἰσχίνης ἐν τῇ περὶ τῆς πρεσβείας ἀπολογίᾳ.

ἐκλογεῖς οἱ ἐκλέγοντες ϗ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ. Ἀντιφῶν ἐν τῷ περὶ τȣ̃ Σαμοθρᾳκῶν φόρȣ "ᾑρέθησαν γ̃ ἐκλογεῖς παρ' ἡμῖν οἷς πλεῖϛα ἐδόκει χρήματα εἶναι." Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον "νῦν δὲ πρὸς τȣ̀ς ἐκλογέας τȣ̃ φόρȣ ἅπαντα ἀπογραφόμεθα."

ἐκλώζετε· Δημοσθένης κατὰ Μειδίȣ. κλωσμὸν ἔλεγον τὸν γιγνόμενον ἐν τοῖς ϛόμασι ψόφον, ᾧ πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ἀκροαμάτων ὧν ȣ̓χ ἡδέως ἤκȣον.

ἐκμαρτυρία διαφέρει τῆς μαρτυρίας, ὅτι ἡ μὲν μαρτυρία τῶν παρόντων ἐϛίν, ἡ δ' ἐκμαρτυρία τῶν ἀπόντων. σαφέϛατα δὲ περὶ τȣ́των διδάσκȣσι Δημοσθένης τε ἐν τῷ κατὰ Στεφάνȣ ϗ Δείναρχος ἐν τῷ ὑπὲρ Αἰσχίνȣ κατὰ Δεινίȣ.

ἐκ περιȣσίας. Δημοσθένης ὑπὲρ Κτησιφῶντος "ȣ̃τος δ' ἐκ περιȣσίας μȣ κατηγορεῖ." βέλτιον ȣ̃τως ἀκȣ́ειν, ὅτι ἐγὼ μὲν

1. Δημ. — 2. γράψας om E. § 21. 3. τὸ δεύτερον] τὸν βίον N. ἐπισκεπτέον — 5. om C. πῶς ἔχει τὸ] τῶι E. ἐν] ἐν τῶι E. φιλιππικῶν B. de pace 18. 4. ληφθὲν DE, omissis ὑπὸ τȣ̃ ῥήτορος. ἐκδέχεσθαι DE. ἐκείνοις N, ἐκείνων E. 6 — 9. om C. 6. ἐκδ. ἰσαῖος ἀντὶ τȣ̃ ἀνάδικον — δικάσασθαι :- E. ἐκπρα ὑπάρξαι A. δικάσαι pr B. 7. καλλικράτη N. 8. τὸ om B. οἷον ἡ B. ȣ̃τω δημοσθένης κατ' ἀφόβȣ πρῶτος E et, qui πρώτω, D. 1 11. 10. κλῆσιν B. ἐπ' ἀνάγκαις AD. τι BC. 11. ȣ̃τως αἰσχίνης :- E. τῇ παραπρ. C, τῇ περὶ τῆς παραπρ. B. § 68. 13. δημοσίω :- E. 15. δὲ om C. 17. Δημ. κ. Μ. om E. § 226. ἔλεγεν C. 18. τοῖς σώμασι pr B, τῷ ϛόματι DE. 19. ἤκȣον DEO, ἠκροῶντο ABC. 20. μαρτυρία om E. 21. ἀπόντων :- E. 22. ἐκδιδάσκȣσι C. τε om BG. περὶ ABCG. 2 7 et 8. 23. κατὰ] καὶ B. δινίȣ AB. 24. ἐν τῷ ὑπὲρ κτησιφῶντος. ἐγὼ μὲν π. τῶν ἐσχ. κινδ., ȣ̃τος δὲ ἐκ περιȣσίας κατηγορεῖ ἀντὶ τȣ̃ ἐκ πολλȣ̃ τȣ̃ περιόντος :- E. § 3.

περὶ τῶν ἐχάτων κινδυνεύω, ἔτος δ' ἐκ πολλῦ τῦ περιόντος μυ κατηγορεῖ, ὐ περὶ χρημάτων, ὡς οἴονταί τινες.

ἐκπλινθεύσας ἀντὶ τοῦ διαλύσας κ̓ ἐξελὼν τὰς πλίνθους Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέυς.

ἐκπολεμῶσαι Δημοσθένης Φιλιππικοῖς ἀντὶ τῦ εἰς πόλεμον καταςῆσαι, ὡς κ̓ παρὰ Θυκυδίδῃ πολλάκις. ἐν μέντοι τοῖς Ἀττικιανοῖς διὰ τῦ η̄ γράφετ, ὡς κ̓ παρὰ Ξενοφῶντι ἐν ϛ' Ἑλληνικῶν.

ἐκ προαγωγῆς ἀντὶ τῦ πρὸς ἀνάγκην κ̓ ὐκ ἐκ φύσεως ὐδ' ἁπλοϊκῶς. ἡ μεταφορὰ ἀπὸ τῶν ὐχ ἡμένων ἀλλ' ἐκ προβολῶν προηναγκασμένων δεσμοῖς. Δημοσθένης κατ' Ἀριςοκράτυς.

ἐκφυλλοφορῆσαι. εἰ ἐδόκει τις τῶν βυλευτῶν ἀδικεῖν, διεψηφίζετο ἡ βυλὴ περὶ αὐτῦ εἰ χρὴ αὐτὸν μηκέτι βυλεύειν· ἀντὶ δὲ ψήφων φύλλοις ἐχρῶντο, δι' ὧν ἕκαςος ἐπεσημαίνετο τὴν αὑτῦ γνώμην. Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτυ ἐκφυλλοφορηθέντος.

Ἐλαιῦς πόλις ἐν Χερρονήσῳ τῇ Θρακίᾳ.

Ἐλάτεια· Δημοσθένης ὑπὲρ Κτησιφῶντος· πόλις δὲ ἦν μεγίςη τῶν ἐν Φωκεῦσι. τῦ δὲ ῥήτορος πάλιν ἐν ζ' Φιλιππικῶν, εἰ γνήσιος, τάδε, "ἐν Κασσωπείᾳ τρεῖς πόλεις, Πανδοσία κ̓ Βύκετα κ̓ Ἐλάτεια." ῥητέον ὅτι βέλτιον ἐν ἐνίοις γέγραπτ διὰ τῦ ρ Ἐλάτρεια· Θεόπομπος γῦν ἐν μγ' τέτταρας πόλεις φησὶν εἶναι τῶν Κασσωπέων, ἀλλ' ὐ τρεῖς ὥσπερ ὁ Δημοσθένης, Ἐλάτρειάν τε κ̓ Πανδοσίαν κ̓ Βιτίαν κ̓ Βύκεταν.

2. μυ om A. σχημάτων pr B. 3. ἐκπλ. ἰσαῖος ἀντὶ τῦ διαλ. — πλίνθυς :- E. τὺς BC. 5. Δημ. Φ. om E. Olynth. 1 7.
6. καταςῆσαι. γράφεται δὲ καὶ διὰ τῦ η̄ ἐκπολεμῆσαι, ὡς καὶ παρὰ ξενοφῶντι ἐκπολεμῆσαι :- E. 7. Ἀττικιανοῖς Hemsterhus. ap. Dobr. Phot. p. 740: codices ἀττικοῖς. διὰ τῦ om BC. γραφαὶ C. ϛ'] 5 4 20? 9. προσαγωγῆς DE, παραγωγῆς N. 10. ἁπλοικῶς :- E. ἡμῖν ἀλλ' ἐκ προσβολῶν N. 11. προηναγκασμένων. Ἐσμοῖς B. δεσμοῖς om N, δεσμοῖς — Ἀρις. om C. § 174. 12 — 71 19. post 76 15 A, 12 — 16. post 71 22 B. ἐψηφίζετο CD. 14. ψήφυ E. ἐν οἷς DE. ἐπεσημήνατο A.
15. ἑαυτῦ βυλήν :- E. 17. om B. ἐλεύς A, ἐλεῦντα E, ἐλαιῦντα D. πόλις ἐςὶν ἐν χ. τῆς θράικης DE. 18 — 71 19. post 76 15. B. 18. ἐλάτεια πόλις μεγίςη τῶν ἐν φωκεῦσιν. ἔνιοι δὲ διὰ τῦ ρ̄ προφέρυσιν ἐλάτρειαν δοκῦντες ἄμεινον γράφειν :- E. ἐλάτρια N. § 143. δὲ] μὲν C.
19. Φιλιππικῶν om BC. de Halonn. 32. 20. κασσιεπεία A, κασιεπεία B, κασιπεία C. 21. ἐλάτεια :- C. 22. ἐλάτρια A. τέσσαρας B. 23. κασσιεπέων A, κασιεπέων B. 24. ἐλάτριάν N.

ἐλαφροτάτους. καὶ ἐν ἐπαίνῳ λέγουσι τοὔνομα οἱ παλαιοί, ἀντὶ τοῦ πρᾳοτάτους, κατὰ τὸ ἐναντίον τοῦ βαρυτάτους καὶ φορτικωτάτους. Ἰσοκράτης Παναθηναϊκῷ "σφᾶς δ' αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας."

ἐλεοκόπων. Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς "πέντε μησὶ μετὰ τῶν ἐλεοκόπων διαιτώμενος." ἐλεοκόπους λέγοι ἂν ὁ ῥήτωρ τοὺς τὰ ἕλη κόπτοντας, τοῦ ε παρεμβεβλημένου, ὡς τὸ "ἐλεόθρεπτόν τε σέλινον" παρ' Ὁμήρῳ. μήποτε δὲ παρὰ τὸ ἐλεόν, ὅπερ ἐστὶ σκεῦος ξύλινον, γεγένηται τοὔνομα. Ἀριστοφάνης Ἱππεῦσιν "εἴ προσκαθέλοι με τοὐλεόν."

ἐλευθέριος Ζεύς. Ὑπερίδης "τῷ μὲν τοίνυν Διί, ὦ ἄνδρες δικασταί, ἡ ἐπωνυμία γέγονε τοῦ ἐλευθέριον προσαγορεύεσθαι διὰ τὸ τοὺς ἐξελευθέρους τὴν στοὰν οἰκοδομῆσαι τὴν πλησίον αὐτοῦ." ὁ δὲ Δίδυμός φησιν ἁμαρτάνειν τὸν ῥήτορα· ἐκλήθη γὰρ ἐλευθέριος διὰ τὸ τῶν Μηδικῶν ἀπαλλαγῆναι τοὺς Ἀθηναίους. ὅτι δὲ ἐπιγέγραπται μὲν σωτήρ, ὀνομάζεται δὲ καὶ ἐλευθέριος, δηλοῖ καὶ Μένανδρος.

Ἐλευσίνια· Ὑπερίδης ἐν τῷ ὑπὲρ Καλλίππου. τοῖς νικῶσι τὰ Ἐλευσίνια ἐδίδοτο ἆθλον. ὠνομάσθη δὲ ἡ πόλις Ἐλευσὶς ἀπὸ Ἐλευσίνου τοῦ Ἑρμοῦ.

ἑλικτῆρες ἐνωτίων εἶδος· Λυσίας.

Ἕλιξος εἷς τῶν ἐπιφανῶν ἀνδρῶν παρὰ Μεγαρεῦσιν.

Ἑλλανοδίκαι· Ὑπερίδης ἐν τῷ ὑπὲρ Καλλίππου πρὸς Ἠλείους. Ἀριστοτέλης Ἠλείων πολιτείᾳ τὸ μὲν πρῶτόν φησιν ἕνα καταστῆσαι τοὺς Ἠλείους Ἑλλανοδίκην, χρόνου δὲ διελθόντος β',

1. καὶ add BCG. γράφουσιν τὸ ὄνομα E. 2. τῶ AC, τὸ B. καὶ φορτικωτάτους om BC. φορτικωτάτους : – E. 3. § 31. 5. ἐλεοκόπους BCEG: E enim ἐλεοκόπους λυσίας τοὺς τὰ ἕλη κόπτοντας. τῷ] τοῦ ι codices. δημοσθένης A. 8. Il. 2 776. δὲ] καὶ CG.
9. ἐλεὸν C. σκεῦος Toupius: codices ἐκτὸς, E lacunam. ξυλίνου BC. τοὔνομα : – E. 10. v. 152? εἰς πρὸς καθελέ μοι D. 11. ἐλ. ζεὺς διὰ τοῦτο καλεῖται ἐλ. ζ. διὰ τοὺς — αὐτοῦ. οὕτω μὲν ὑπερίδης E. 12. τὸ C.
13. τ᾽ om pr B. ἐλευθέρους pr B. 14. ὁ δὲ δίδυμος οὐ διὰ τοῦτο φησίν, ἀλλὰ διὰ τὸ τῆς μηδικῶν δουλείας καὶ ἐπικρατείας ἀλλαγῆναι τοὺς ἀθηναίους E. 16. ὅτι ἐπιγέγραπτο C. ὠνομάζετο δὲ ἐλ. BCG. 17. καὶ om C.
18. Ὑπ. — Καλλ. om E. 19. ἐδίδου C, ἐδίδου τὸ BG. 20. τοῦ om C.
post Ἑρμοῦ DE ἄλλοι δὲ ἄλλας αἰτίας φασὶ καὶ ἑορτὴν εἶναι μόνον τὰ ἐλευσίνια. 21. Λυσίας om E. in Eratosthen. 19. 23. Ὑπ. — 24. πολιτείᾳ om E. 24. τὸ μὲν πρῶτον ἕνα καθίστων ἑλλανοδίκην οἱ ἠλεῖοι, εἶτα δύο, τελευταῖον δὲ θ. E. μὲν om BC. καταστῆσαί φησι B, omisso cum C ἕνα. 25. ἑλλανοδικ $\theta^{\eta'}$ C.

τὸ δὲ τελευταῖον θʹ. Ἀριςόδημος δ' ὁ Ἠλεῖός φησι τὲς τελευταίες τιθέντας τὸν ἀγῶνα Ἑλλανοδίκας εἶναι ιʹ, ἀφ' ἑκάςης φυλῆς ἕνα.

Ἑλληνοταμίαι· Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος. ὅτι ἀρχή τις ἦν οἱ Ἑλληνοταμίαι, οἳ διεχείριζον τὰ χρήματα, ϗ Ἀριςοτέλης δηλοῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ. μνημονεύει δὲ ϗ Θεκυδίδης αὐτῶν ἐν αʹ.

ἐμβεβλημένα ἀντὶ τὲ ἐγκεκεντρισμένα Δημοσθένης ἐν τῷ πρὸς Νικόςρατον. ϗ Ἀριςοτέλης δ' ἐμβολάδας ἀπίες λέγει τὰς τοιαύτας.

ἔμβιος. Ἀντιφῶν Ἀληθείας αʹ "ϗ ἡ σηπεδὼν τὲ ξύλε ἔμβιος γένοιτο" ἀντὶ τὲ ἐν τῷ ζῆν, τετέςι ζήσειε ϗ μὴ ξηρανθείη μηδ' ἀποθάνοι.

ἐν βραχεῖ ἀντὶ τὲ ἁπλῶς ϗ ἐν κεφαλαίῳ Ἀντιφῶν.

ἔμμηνοι δίκαι αἵ τε ἐμπορικαὶ ϗ ἐρανικαί· Δημοσθένης ϗ Ὑπερίδης.

ἐμποδών. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταςάσεως "ϗ τὲς ἐμποδὼν ἐκολάσατε" ἀντὶ τὲ τὲς ἐμπεσόντας, καθὰ ϗ Ἀνδοκίδης ἐν τῷ κατ' Ἀλκιβιάδε.

Ἔμπεσα· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. φάσμα τί φασιν εἶναι τῆς Ἑκάτης, ὃ τοῖς δυςυχῦσιν ἐφαίνετο. πλήρης δὲ τὲ ὀνόματος ἡ κωμῳδία.

ἕναι ἀρχαὶ αἱ παρῳχημέναι· Δημοσθένης κατ' Ἀριςογείτονος.

ἔνδειξις εἶδος δίκης δημοσίας, ὑφ' ἣν τὲς ἐκ τῶν νόμων εἰργομένες τινῶν ἢ τόπων ἢ πράξεων, εἰ μὴ ἀπέχοιντο αὐτῶν,

1. δὲ om BC. φησι om E. 2. ῑ εἶναι ἑλλανοδίκας E. 4 et 5. ἑλλανοταμίαι A, ἑλινοταμίαι E: hic ἀρχή τις ἦν οἳ διεχείριζον τὰ χρήματα :— 4. ἀνδροκίδης C. § 38. 5. αἱ C. 7. c. 96. 8. ἐκβεβλημένας C. ἀντὶ τὲ om E. ἐγκεκεντρισμένας C. Δημ. — Ν. om E. 9. § 15. καὶ Ἀρ. δὲ] ἀριςοφάνης δὲ καὶ DE. ἐμβαλάδας A. ἀππίες τὰς τοιαύτας λέγει E. 11. ἔμβιον ἀντιφῶν τὸ ζῶν μηδὲ (καὶ μὴ E) ξηρανθὲν μηδὲ ἐναποθανόν :— DE. ἡ] ἡ γῆ A. ἐμπεδὼν G. 12. γένοιτο om C. ζήσοιε C. 13. ἀποθάνῃ C. ἔμβραχυ ἁπλῶς 14. om C. ἐν βραχεῖ ἀθρόων N. 15 et 16. om C. 15. ἐρανικαί :— E Δ. Pantaen. 2. 17. ἐμποδῶν ἀντιφῶν τὲς ἐμπεσόντας. λέγει γὰρ τὲς ἐμποδῶν ἐκολάσατε :— καὶ om A. 18. τὲ om C, τὲς om AB. ἐμπεσόντες B, ἐν ποσὶ margo N. 19. § 10. 20. Δημ. — Κτ. om E. § 130. φησιν εἶναι C, εἶναι B, om DE. 21. ὃ τοῖς δυςυχῦσιν DEN, ὅπερ ςοιχῦσιν ABCG. 23 — p. 72 4. om C. 23. ἀρχαὶ αἱ] ἀρχαῖαι B. § 20. 24. εἶδος om A.

ὑπῆγον. πολλοὶ μὲν ἔν εἰσὶ λόγοι ἐνδείξεως, γνωριμώτατοι δὲ οἱ κατ᾽ Ἀριςογείτονος Δημοσθένες.

ἐνδεκάζοντας ἀντὶ τε ἐνεορτάζοντας, ἐν τῷ αὐτῷ τὴν δεκάτην ἄγοντας, Δημοσθένης ἐν τῷ κατὰ Θεοκρίνε.

ἐν Διομείοις Ἡράκλειον· Ὑπερίδης κατὰ Κόνωνος. τῆς ἐν Διομείοις ἀγομένης ἑορτῆς τῷ Ἡρακλεῖ μνημονεύεσι ϗ οἱ κωμικοί.

ἐνεπίσκημμα ϗ ἐνεπισκήψασθαι· Δημοσθένης ἐν τῷ κατὰ Τιμοθέε. ὁπότε δημευθείη τινὸς ἡ ἐσία, ἐξῆν προσελθεῖν τῷ φάσκοντι δανειςῇ γεγονέναι τετε τε ἀνδρὸς ϗ λέγειν ὅτι ἐνοφείλεται αὐτῷ χρέος ἐν τῇ ἐσίᾳ. ἔςι δὲ ϗ λόγος τις ἐπιγραφόμενος Δημοσθένες πρὸς Κριτίαν περὶ τε ἐνεπισκήμματος, ὃν Καλλίμαχος μὲν ἀναγράφει ὡς γνήσιον, Διονύσιος δὲ ὁ Ἁλικαρνασεὺς ὡς ψευδεπίγραφον.

ἐνεσκευασμένην Ἰσαῖος ἐν τῷ πρὸς Ἀριςογείτονα ϗ Ἄρχιππον ἀντὶ τε ἐσκευασμένην ϗ πεπλασμένην. Δημόσθένης ἐν τῷ πρὸς Σπεδίαν.

ἐνετιμᾶτο. τὸ ἀπετιμᾶτο διαφέρει τε ἐνετιμᾶτο· ὅταν μὲν γὰρ πρός τι ποσὸν ἀργύριον ἀποτίμημα λαμβάνῃ τις, ἀποτιμᾶσθαι λέγεται· ὅταν δὲ ἐν εἴδεσί τισι λογίσηταί τις μέρος τι τε ἀργυρίε, τετο λέγεται ὡς ἐνετιμήσατο.

ἕνη ϗ νέα· Ὑπερίδης ἐν τῷ πρὸς Ὑγιαίνοντα. τὴν ὑφ᾽ ἡμῶν τριακάδα καλεμένην ἕνην ϗ νέαν καλεσιν Ἀθηναῖοι ἀπὸ τε τὴν τελευτὴν ἔχειν τε προτέρε μηνὸς ϗ τὴν ἀρχὴν τε ὑςέρε.

1. ἀπῆγον A. ὑπῆγον. δημοσθένης κατὰ ἀριςογείτονος :– E. 3. ἐκδεκάζοντας B. ἐν ἑαυτῷ B. § 40. 5. ἐν διομίοις ἡράκλειον. ἡ ἐν διομίοις ἀγομένη τῷ ἡρακλεῖ ἑορτή :– E. ἡρακλεῖ G. τοῖς B. 8. Δ. — 9. T. om E. 9. § 45 — 47. ἡ add B. προελθεῖν DE, προσελθόντι AG. 10. γεγενῆσθαι δανειςῇ τε E. καὶ add DE. ὡς ὀφείλεται E, ὅτι ἐν ὀφείλεται AB. 11. ἐν τῇ ἐσίᾳ χρέως. καὶ τετο λέγεται ἐπίσκημμα καὶ ἐνεπισκήψασθαι E. 12. δημοσθένες N: vulgo δημοσθένης. 13. ἀναγράφει N. 14. ἁλικαρνασσεὺς BN. 15. Ἰσ. — Ἀρχ. om E. 16. διεσκευασμένην DE. πεπλασμένην om BC. Δ. — Σπ.] ἰσαῖος καὶ δημοσθένης E. Valesius haec v. inf. ante τὸ ponit: respici enim § 27. 18. ἐνετιμᾶτο om ABC. τὸ ἐναπετιμᾶτο Valesius, om DE. τε ἀπετιμᾶτο E, τε ἐπετιμᾶτο D. 19. πρός] ὡς F. ἀργυρίε BCG. ἐναποτιμᾶσθαι Valesius. 20. λογίσαιτο BG. τι τὸ τε ABCN. 22. ἕνη καὶ νέαν τὴν ὑφ᾽ ἡμῶν τριακάδα καλεμένην ἀθηναῖοι λέγεσιν E. 23. καλεμένην τριακάδα BC. οἱ ἀθηναῖοι B. 24. πρώτε BG.

Πολέμων δέ φησιν ὅτι ἐκάλεσαν ποτε αὐτὴν Δημητριάδα ἐπὶ τιμῇ Δημητρίȣ τȣ͂ Μακεδόνος. ἕνην δὲ καὶ εἰς ἕνην τὸ εἰς τρίτην λέγȣσι. ϗ ἁπλῶς τὸ ἕνον δασυνόμενον τὸ πρότερον ϗ παρεληλυθὸς δηλοῖ.

Ἔνθρυπτα· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Δίδυμος ὁ γραμματικὸς ἐν τῷ ὑπομνήματι τȣ͂ λόγȣ εἰπὼν ὡς τὰ ἔνθρυπτα ἐκκείμενον ϗ γνώριμον ἀπ' αὐτῆς ἔχει τῆς φωνῆς τὸ σημαινόμενον, περιεργότερόν τινα ἐκτίθετ' ἐξήγησιν ἀμάρτυρον· εἰσὶ δὲ ἔνθρυπτα τὰ ἐκ πεμμάτων, ἢ τὰ ἐνθρυβόμενα βρώματα. ἔνιοι δὲ ταῖς τελεταῖς αὐτὰ προσοικειȣ͂σι· ϗ Ἀπόλλων δὲ παρ' Ἀθηναίοις Ἔνθρυπτος.

Ἐν Λίμναις Διονύσιον· Ἰσαῖος περὶ τȣ͂ Κίρωνος κλήρου. τόπος ἐςὶν ἐν Ἀθήναις Λίμναι, ἐν ᾧ ὁ τιμώμενος Διόνυσος.

Ἐννεάκρȣνον· Λυσίας ἐν τῷ περὶ τῆς ἀντιδόσεως. κρήνη τις ἐν Ἀθήναις· πρότερον δ' ἐκαλεῖτο Καλλιρόη.

Ἐννέα ὁδοί· Αἰσχίνης ἐν τῇ περὶ τῆς πρεσβείας ἀπολογίᾳ. τόπος ἐν Θρᾴκῃ περὶ τὴν Ἀμφίπολιν.

Ἐν παραβύςῳ ἀντὶ τȣ͂ κρύφα ϗ ȣ̓ φανερῶς Ὑπερίδης ἐν τῷ κατ' Ἀρχεςρατίδȣ.

Ἐνσημαινόμενος ἀντὶ τȣ͂ ἐνδεικνύμενος ϗ ἐμφαίνων Ἰσοκράτης.

Ἐν Φρεατοῖ. Δημοσθένης ἐν τῷ κατ' Ἀριςοκράτȣς περὶ τȣ͂ ἐν Φρεατοῖ δικαςηρίȣ ἀκριβῶς διεξελήλυθε, λέγων ȣ̔́τως. "ἔτι τοίνυν πέμπτον δικαςήριον ἄλλο θεάσασθε οἷον ὑπερβέβηκε τὸ ἐν Φρεατοῖ. ἐνταῦθα γὰρ ὦ ἄνδρες Ἀθηναῖοι κελεύει δίκας

1. αὐτήν ποτε EN. ἀθηνᾶν δημητριάδα ABCGN. 2. ἕνης E. 5 et 6 et 9. ἐνθρυπτὰ AB. ἔνθρυπτα — 9. δὲ om E. 5. ἐν τῷ om N. § 260. 8. περιεργότερον δέ τινα τίθενται BC. 9. ἐνθρυαόμενα C, ἐνθρυπτόμενα N. 10. βρέματα A. τελευταῖς B. 12. λήμναις C. διονύσιος BN, διόνυσος G. Ἰσ. — κλήρȣ om C. περὶ κύρωνος B, περὶ ἥρωνος C, περὶ τȣ͂ κιρωνίȣ N. § 15? 13. ἐν ᾧ τιμᾶται N. ὁ om AB. διονύσιος ABDEN. 14. ἐννεάκρȣνον κρήνη τις ἀθήνησιν καλλιρόη καλȣμένη πρότερον :– E. 15. καλλιρρόη C. 16. ἐννέα ὁδοί τόπος θραικικὸς παρὰ τὴν ἀμφίπολιν DE. § 31. 18. ἀντὶ τȣ͂ om E. ȣ̓] μὴ BC. φάνερῶς :– E. 19. ἀρχιςρατίδȣ AB, ἀρχιςρατήδȣ C. 20. Ἰσοκράτης om E. Philipp. 26. 22. ἐμφρεατοῖ E,
δι
ἐμφρεατοὶ D, ἐν φρεάτȣ ABC, ἐν φρεάτȣ N. Δημ. — p. 74 9. ὑπέχει] δικαςήριον τῶν ἀκȣσίων φόνων ἐν ἀθήναις. δημοσθένης ἐν τῷ κατ' ἀριςοκράτȣς ἀκριβῶς διέρχεται περὶ αὐτȣ͂ E. § 77. τȣ͂] τῶν BC, τὰς A. 23. δικαςηρίων BC. ἔςι τοίνυν πέντε δικαςήρια BC. 25. ἐκ B. ἐνταῦθα — p. 74 9. ὑπέχει om C. ἄνδρες om ABN. ἀθηναίȣς N.

ὑπέχειν ὁ νόμος, ἐάν τις ἐπὶ ἀκεσίῳ φόνῳ πεφευγώς, μήπω τῶν ἐκβαλόντων αὐτὸν ᾐδεσμένων, αἰτίαν ἔχῃ ἑτέρε φόνου ἑκεσίε." ϗ μετ' ὀλίγον φησὶν "ἤγαγε τὲς δικάσοντας οἷ προσελθεῖν οἷόν τε ἐκείνῳ, τῆς χώρας ἀποδείξας τόπον τινὰ ἐν Φρεατοῖ καλέμενον ἐπὶ θαλάττης· εἶθ' ὁ μὲν ἐν πλοίῳ προσπλεύσας λέγει, τῆς γῆς ἐχ ἁπτόμενος, οἱ δ' ἀκροῶνϑ ϗ δικάζεσιν ἐπὶ τῆς γῆς. κἂν μὲν ἁλῷ, τὴν ἐπὶ τοῖς ἑκεσίοις φόνοις δίκην ἔδωκε δικαίαν· ἐὰν δὲ ἀποφύγῃ, ταύτης μὲν ἀθῷος ἀφίεϑ, τὴν δὲ ἐπὶ ἑτέρῳ φόνῳ φυγὴν ὑπέχει." ὠνομάσθη δ' ἔοικε τὸ δικαςήριον ἀπό τινος Φρεάτε ἥρωος, καθά φησι Θεόφραςος ἐν ς' τῶν Νόμων.

ἐξάγιςος ἀντὶ τῦ λίαν ἐναγὴς ϗ ἔμπλεως ἄγες. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἐπί τινος λιμένος εἴρηκε τὄνομα.

ἐξαιρέσεως δίκη. ὁπότε τις ἄγοι τινὰ ὡς δῦλον, ἔπειτά τις αὐτὸν ὡς ἐλεύθερον ἐξαιροῖτο, ἐξῆν τῷ ἀντιποιεμένῳ τῦ ἀνθρώπε ὡς δέλε λαγχάνειν ἐξαιρέσεως δίκην τῷ εἰς τὴν ἐλευθερίαν αὐτὸν ἐξαιρεμένῳ· Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμάθες εἰς ἐλευθερίαν ἀφαιρέσει.

ἐξαράσασθαι. Αἰσχίνης κατὰ Κτησιφῶντος "ὅτι χρυσᾶς ἀσπίδας ἀνέθηκε πρὸς τὸν καινὸν νεών." ἐξαράσασθαί ἐςι τὸ ἐκτελέσαι τὰς ἀράς, τετέςι τὰς εὐχάς, ἃς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν εἰώθασι ποιεῖσθ.

ἐξεγγύησις τὸ ἐξελέσθ τινὰ δι' ἐγγυητῶν καταςάσεως· Δημοσθένης ἐν τῷ κατ' Ἀριςοκράτες.

ἐξένιζε. Δημοσθένης ἐν τῇ πρὸς Εὐβελίδην ἐφέσει "διαβεβλήκασι γάρ με τὸν πατέρα ὡς ἐξένιζε." μήποτε ἀντὶ τῦ ξένος ἦν, ϗ ἐχ ὡς Δίδυμός φησιν, ἀντὶ τῦ ἐκ Ἀττικῶς διελέγετο ἀλλὰ ξενικῶς.

ἐξεπρέμνιζον ἀντὶ τῦ κατέβαλλον τὰ πρέμνα, τετέςι μέχρι ῥιζῶν τὰ ςελέχη, Δημοσθένης ἐν τῷ περὶ τῦ Ἁγνίε κλήρε.

2. ἐκβαλλόντων B. ᾖ δεομένων ABN. 3. μετ' ὀλίγον] § 78. 4. οἴονται ABN. 5. θαλάττῃ N. 7. φωνὴν A. 8. ἀθώως ἐφίεται B. 9. δὲ τὸ δικαςήριον ἔοικεν E. 10. φρέατος ἥρως, ὡς Θεόφραςος ἐν (ἐν om D; ιε̅ νόμωι μαρτυρεῖ DE. 12. ἐναγής. αἰσχίνης δὲ ἐπὶ E. ἐξαίροιτο § 107. 14. ἄγει C, ἄγοι μέν E. ἔπειτά] ἄλλος δέ E. 15. ἄγοιτο A. τὸν ἀντιποιέμενον τῶι ἀνθρώπωι E. 17. ἐξαιρεμένωι :- E. 19. § 116. χρυσάσπιδας A. 20. νεών] adde πρὶν ἐξαράσασθαι. ἐξαρ. δέ ἐςι C. 21. ἃς add DE. 22. ναῶν] νεῶν ἃς CN, ναῶν αἳ A. 24. Ἀρ.] imno Τιμοκράτες 77. 25. § 18. 28. ξενικός C. 29. κατέβαλον A. πράγματα BCG. 30. ῥιζῶν :- C. τῦ add B. ἁγνῦ AB.

ξετάζεσθαι ἀντὶ τοῦ ὁρᾶσθαι Δημοσθένης κατὰ Στεφάνου. καὶ ἐν τῷ κατ' Ἀνδροτίωνος "ἐξητάσθης" φησὶν ἀντὶ τοῦ ὤφθης, ἑωράθης.

ἐξηγητής· Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου. ὁ ἐξηγούμενος τὰ ἱερά. ἔστι δὲ καὶ ἃ πρὸς τοὺς κατοιχομένους νομιζόμενα ἐξηγοῦντο τοῖς δεομένοις. καὶ Δημοσθένης ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου δηλοῖ, πληθυντικῶς τοὺς ἐξηγητὰς πολλάκις ὀνομάζων.

Ἐξήκεστος ὄνομα κύριον· Δημοσθένης κατ' Ἀριστοκράτους.

ἐξορχησάμενος ἀντὶ τοῦ φυγὼν καὶ ἀποδράς Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος προσπαίζων ἅμα εἶπε διὰ τὴν τῶν Διονυσίων πομπήν.

ἐξούλης ὄνομα δίκης ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων. εἴρηται μὲν οὖν τοὔνομα ἀπὸ τοῦ ἐξίλλειν, ὅ ἐστιν ἐξωθεῖν καὶ ἐκβάλλειν, δικάζονται δὲ ἐξούλης κἀπὶ τοῖς ἐπιτιμίοις οἱ μὴ ἀπολαμβάνοντες ἐν τῇ προσηκούσῃ προθεσμίᾳ, ὑπερημέρων γιγνομένων τῶν καταδικασθέντων. οἱ δὲ ἁλόντες ἐξούλης καὶ τῷ ἑλόντι ἐδίδοσαν ἃ ἀφῃροῦντο αὐτοῦ, καὶ τῷ δημοσίῳ κατετίθεσαν τὰ τιμηθέντα. ταῦτα δὲ σαφῶς Ἰσαῖος διδάσκει καὶ Λυσίας ἐν τῷ κατὰ Στρατοκλέους ἐξούλης. Δείναρχος μέντοι ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ ἰδίως κέχρηται τῷ τῆς ἐξούλης ὀνόματι ἐπὶ τῆς ἱερείας τῆς μὴ βουλομένης τὰ ἴδια δρᾶν. ὅτι δὲ ἐπὶ παντὸς τοῦ ἐκ τῶν ἰδίων ἐκβαλλομένου τάττεται τοὔνομα, καὶ οὐχ ὡς οἴεται Καικίλιος μόνων τῶν ἐκ καταδίκης ὀφειλόντων, καὶ Φρύνιχος ἐν Ποαστρίαις δῆλον ποιεῖ.

1. § 66. 2. § 66. ἑωράθης N: ceteri ὡράθης. 4. περὶ τοῦ κίρωνος A, πρὸς τοῦ σκίρωνος B, πρὸς σκύρωνος C. correxit Valesius. κλῆρον C. § 39. ὁ] καὶ BCG, ἰδίως ὁ D. 5. δὲ om B. ἔστι ἐ οὖ καὶ τὰ Kühn. Polluc. 3 102 26, ἔτι δὲ καὶ τὰ Hemsterhusius. an ὅτι δὲ καὶ ἃ? τοὺς om N. κατοιχουμένους B, κατηχουμένους A. νομιζόμενα Valesius, ὀνομαζόμενα ABCDN. 6. ἐξηγοῦνται N. εὐεργέτου ABC. 7. μνησιδούλου A. § 68. 9. om C. § 142. 11. § 68. 14. οὖν om G. 15. ἐξέλλειν B, ἐξέλειν CG. δικ. — 25. om C. 16. ἐν] ἐπὶ B. προσελθούσῃ N. 17. γενομένων BD. 18. ἑλόντι] ἥναντι N. αὐτὸν N. 19. post τιμηθέντα D et codex Coislin. 177: δικάζετο δὲ ἐξούλης καὶ ὁ χρήστης κατέχειν ἐπιχειρῶν κτῆμα τοῦ χρεωστοῦντος καὶ κωλυόμενος ὑπό τινος (τινων 177). καὶ ἐπεργασίας (ἀπ. 177) δέ τις εἰ (δὲ εἴ τις 177) εἴργοιτο, δίδωσιν ὁ νόμος δικάζεσθαι πρὸς τὸν εἴργοντα (ἐξείργοντα 177) ἐξούλης. addit D καὶ περὶ ἀνδραπόδου δὲ καὶ παντὸς οὗ φησί τις αὐτῷ μετεῖναι. Δείναρχος δὲ —. 20. διδάσκει ἰσαῖος A. 21. τῷ AB. κροκονιδῶν A. ἠδέως AB. 23. ἐκλαμβανομένου B. 24. κεκίλιος N. μόνων Valesius, μόνως N: vulgo μόνος.

ἐξωμοσία τὸ μεθ' ὅρκȣ πρᾶξίν τινα ἀπαρνήσασθαι διὰ νόσον ἤ τινα ἑτέραν πρόφασιν, ὡς δῆλον ποιεῖ Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας.

ἐπαγγελία σημαίνει μὲν ϗ ἄλλα, ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἐγκαλέντων τινὶ δημηγορεῖν ϗ πολιτεύεσθαι ȣ̓κ ἐξόν, ϗ ἔςιν οἷον παραγγελία· Αἰσχίνης κατὰ Τιμάρχȣ. λέγεται δὲ παρ' αὐτοῖς τὸ ἐπαγγέλλεσθαι ϗ ἀντὶ τȣ̃ προςάττειν ἢ αἰτεῖσθαι, ὡς παρά τε Ἀντιφῶντι ἐν τῷ περὶ τȣ̃ Λινδίων φόρȣ ϗ Δημοσθένει ἐν τῷ περὶ πρεσβείας.

ἐπακτὸς ὅρκος ὃν αὐτός τις ἑκὼν αὐτῷ ἐπάγεται, τȣτέςιν αἱρεῖται· Λυσίας ἐν τῷ πρὸς Χαιρέςρατον ϗ Ἰσοκράτης Ἀπολλωνιάτης ἐν ταῖς πρὸς Δημόνικον παραινέσεσιν. ἔςι δὲ ὅρκȣ τρία εἴδη, ἀπώμοτος ϗ κατώμοτος ϗ ὁ καλέμενος ἐπακτός. εἶναι δὲ τȣ̃τον ȣ̓χ ἁπλȣ̃ν· δεῖ γὰρ τὸν προτεινόμενον ὑπὸ τοῦ ὁρκίζοντος αὐτοῖς ὀνόμασιν ἀντιφωνεῖν τὸν ὁρκιζόμενον.

ἐπακτροκέλης· Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχȣ. εἶδος δ' ἐςὶ πλοίȣ σύνθετον ἔχον τὴν κατασκευὴν ἔκ τε ἐπακτρίδος ϗ κέλητος. ἦν δὲ ὡς ἐπίπαν λῃςρικόν, ὡς ϗ Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτȣ δοκιμασίᾳ.

ἐπαλλάξεις ἀντὶ τȣ̃ συναλλαγὰς ἢ μίξεις Ἀντιφῶν Ἀληθείας α'.

ἐπαναφορὰ τὸ ἀναφέρειν ϗ ἀνακοινȣ̃σθαι τῷ πλήθει.

ἐπαιρόμενος ἀντὶ τȣ̃ ἐπανατεινόμενος Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐν δὲ τῷ πρὸς Ἄφοβον ἐπ' ἄλλȣ σημαινομένȣ φησὶν "ἢ κέρδεσιν δι' ἀπορίαν ἐπαιρομένȣς." Ἀριςοφάνης Νεφέλαις "εἴθ' ὤφελ' ἡ προμνήςρι' ἀπολέσθαι κακῶς, ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα."

ἠκρωτηριασμένοι. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος "ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας" ἀντὶ τοῦ λελυμασμένοι· οἱ γὰρ λυμαινόμενοί τισιν εἰώθασι περικόπτειν αὐτῶν τὰ ἄκρα, ὡς ϗ Σοφοκλῆς Πολυξένῃ. τὸ μέντοι ἠκρωτηριασμένοι ἀντὶ τοῦ ἐνεργητικοῦ κεῖται τοῦ ἠκρωτηριακότες.

ἡλιαία ϗ ἡλίασις. ἡλιαία μέν ἐστι τὸ μέγιστον δικαστήριον τῶν Ἀθήνησιν, ἐν ᾧ τὰ δημόσια τῶν πραγμάτων ἐκρίνετο χιλίων δικαστῶν ἢ χιλίων ϗ πεντακοσίων συνιόντων. συνήεσαν δὲ οἱ μὲν χίλιοι ἐκ δυοῖν δικαστηρίων, οἱ δὲ χίλιοι πεντακό-

1. ψευδογραφῆς BCD. 3. ἡγεμὼν καὶ συμμ. A. § 312. 4. προέχων τῷ πλ. AC. 7 — 8. om C. 7. § 285. 9. Phil. 3 72. 10. ἐπικεκλημένος D. ὁ] καὶ ὁ A. 12 et 13. ἡδύλιον B. de FL 148. 14 — 15. om C. 14. ἢ om B. ἐν om A. ἐνεδρ.] ἐνσχεθέντα D. τινι τόπῳ ἐνέδρα B. 15. καταλαβών AD. § 53.
16. ἠετιωνεία A. τῆς om BC. 17. ἡ ἑτέρα τοῦ πειραιέως ἄκρα Suidas: ἥ τε ἄρα τοῦ πειραιέως ἄκρα B, ἥ γε παρὰ τοῦ πειραιέως ἄκρα A, τοῦ πειρέως τὰ ἄκρα D, om CG. κτησαμένου C. 18. ὥς — 19. ἀντιγραφῇ om C. 18. δήμονα B. 19. δὲ καὶ τῆς C. c. 90. 20, 21, 23, 24. ἠκροτ — C. 20. § 296. 23. πολυξενῆτιν ABC. 24. τοῦ post ἀντὶ om N.
25. τῶν ἐν ἀθ. codices. 27. ἢ χιλίων om N. συνίεσαν C, συνίασι D. 28. ἐκ] οἱ ἐκ D. δυεῖν ADN. χίλιοι καὶ π. A.

σιοι ἐκ τριῶν. ἡλιάζεσθαι δὲ καὶ ἡλίασις ἐστι τὸ ἐν ἡλιαίᾳ δικάζειν. Λυσίας μὲν ἐν τῷ πρὸς Γλαύκωνα τὴν ἡλιαίαν πολλάκις ὀνομάζει, ἐν δὲ τῷ κατὰ Φιλωνίδου, εἰ γνήσιος, τῷ ἡλιάζεσθαι ἐχρήσατο.

ἡλικία ἀντὶ τοῦ ἐν ἡλικίᾳ οἱ νέοι· Λυκοῦργος κατ' Ἀριστογείτονος καὶ Δημοσθένης Φιλιππικοῖς.

ἡμίεκτον καὶ ἡμιμέδιμνον· Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τοῦ μεδίμνου ἔχοντος χοίνικας μη', τὸ χωροῦν κδ' χοίνικας ἡμιμέδιμνόν ἐστιν, ἡμίεκτον δὲ τὸ χωροῦν δ' χοίνικας, τοῦ ἕκτου, ὅπερ ἐστὶ χοίνικες η', τὸ ἥμισυ.

ἡμιολιασμός. Ἀντιφῶν Πολιτικῷ "διπλασιασμοῦ καὶ ἡμιολίστου" ἀντὶ τοῦ ἡμιολίων ἐν τοῖς λογισμοῖς. ἡμιόλιος δ' ἐστὶν ἀριθμὸς ὁ ἔχων αὐτόν τε καὶ τὸ ἥμισυ αὐτοῦ, οἷον ὁ τρία πρὸς τὸν δύο. Ξενοφῶν γοῦν ἐν τῇ Ἀναβάσει φησὶν ὅτι τοῖς στρατιώταις ἐποίησεν ἡμιόλιον τὸν μισθόν, ἀντὶ Δαρεικοῦ τρία ἡμιδαρεικά.

ἤπειρον. σύνηθές ἐστι τῷ Ἰσοκράτει τὴν ὑπὸ τῷ βασιλεῖ τῶν Περσῶν γῆν οὕτω καλεῖν, ὥσπερ ἔν τε Φιλίππῳ καὶ Ἀρχιδάμῳ.

Ἡράκλεια· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. πολλῶν ὄντων τῶν κατὰ τὴν Ἀττικὴν Ἡρακλείων, νῦν ἂν ὁ Δημοσθένης μνημονεύοι ἤτοι τῶν ἐν Μαραθῶνι ἢ τῶν ἐν Κυνοσάργει· ταῦτα γὰρ μάλιστα διὰ τιμῆς εἶχον Ἀθηναῖοι.

Ἡραῖον τεῖχος· Δημοσθένης Φιλιππικοῖς. χωρίον ἐστὶν ἐν Θρᾴκῃ οὕτως ὀνομαζόμενον, ὑπὸ Σαμίων δὲ ᾠκίσθη, ὥς φησι Διονύσιος ἐν ε' Κτίσεων.

ἠρία· Λυκοῦργος ἐν τῷ κατ' Αὐτολύκου. ἠρία εἰσὶν οἱ τάφοι, ὡς καὶ αὐτὸς ὁ ῥήτωρ δῆλον ποιεῖ. φασὶ δέ τινες κοινότερον μὲν πάντας τοὺς τάφους οὕτως ὀνομάζεσθαι, κατ' ἐξαίρετον δὲ

2. ἐν μὲν? 3. τῷ κατὰ om B. τὸ C. 5—6. om C. 6. ἐν φ. D. 8. τὸ om A. 9. χοίν. καὶ ἡμ. C. 11. ἀντιφῶν ἀντὶ τοῦ ἡμιόλια δοῦναι. ἡμιόλιος δ' D. πολιτικῶν B, πολικῶν margo B, om D. ἡμιολιασμοῦ Schneiderus Saxo. 12. τοῦ] τοῦ τῶν A. 13. αὐτόν τε] ἄλλον ἄλλον D. 14. οὖν BC. 1 3 21. 15. ἀντὶ τοῦ δ. C. 17. ὑπὸ βασιλείαν D. malim ὑπὸ βασιλεῖ τῷ π. 18. γῆν om C. φιλιππικῷ AB. ἀρχεδάμῳ C. 19. § 125 extr. 20. ἡρακλειῶν A. 21. τῶν post ἤτοι om C. 22. ταύτας ABC: correxit Valesius. ἦγον οἱ ἀθηναῖοι D. 23. Olynth. 3 4. 25. κτίσεως A, κτήσεως BC. 27. δηλοῖ B. καινότερον A et fortasse D.

τοὺς μὴ ἐν ὕψει τὰ οἰκοδομήματα ἔχοντας, ἀλλ' ὅταν τὰ σώματα εἰς γῆν κατατεθῇ· ὠνομάσθη δὲ παρὰ τὴν ἔραν.

ἤσμεν ἀντὶ τοῦ ᾔδειμεν. Ἀντιφῶν πρὸς τὴν Καλλίου ἔνδειξιν ἀπολογίᾳ "ἡμεῖς μὲν οὖν οὔτε ναυτικὸν ἤσμεν ὁπόσον δέοι."

ἠτημένην ἀντὶ τοῦ κεχρημένην Δημοσθένης ἐν τῷ κατ' Εὐέργου, εἰ γνήσιος. ὅτι γὰρ αἰτεῖσθαι ἔλεγον τὸ κιχρᾶσθαι, Μένανδρος ἐν τῇ Ὑμνίδι· "οὐ πῦρ γὰρ αἰτῶν, οὐδὲ λοπάδ' αἰτούμενος."

Ἡφαιστία· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ἀκαδήμου. ὅτι β' πόλεις ἦσαν τῆς Λήμνου, Μύρρινά τε ϗ Ἡφαιστία, δηλοῖ ϗ Διονύσιος ὁ Χαλκιδεὺς ἐν γ' Κτίσεων.

Ἠιών· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. Ἠιὼν πόλις Θρᾴκης, Μενδαίων ἀποικία, ὡς Θουκυδίδης· Θεόπομπος δ' ἐν τῇ δ' φησὶν ὡς Ἀθηναῖοι ἐκβαλόντες ἐξ Ἠιόνος Ἀμφιπολίτας κατέσκαψαν τὸ χωρίον.

Θαργήλια· Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου. ἑορτή ἐστι τὰ Θαργήλια, ἄγεται δὲ Θαργηλιῶνι μηνί, ὅς ἐστιν ἱερὸς Ἀπόλλωνος.

θέμενος τὰ ὅπλα ἀντὶ τοῦ περιθέμενος ϗ ὁπλισάμενος Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, ϗ Ὅμηρος "κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην θέτο." ϗ Αἰσχίνης κατὰ Τιμάρχου φησὶν "ἄνθρωποι, τῇ πόλει ὑπὲρ ἧς τὰ ὅπλα μὴ τίθεσαι."

θεμιστεύειν ἀντὶ τοῦ χρησμῳδεῖν Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως, εἰ γνήσιος. ὅτι δὲ γέγονε τὸ ὄνομα ἀπὸ τοῦ Θέμιν ἐσχηκέναι ποτὲ τὸ μαντεῖον πρὸ τοῦ Ἀπόλλωνος, Αἰσχύλος ἀρχόμενος τῶν Εὐμενίδων φησίν.

Θεμίσων· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὄνομα κύριον. οὗτος ἐτυράννησεν.

Θεογείτων· Δημοσθένης ἐν τῷ αὐτῷ. ἔνιοι δὲ τοῦτον Θεογένην ὠνόμασαν, ὡς ϗ Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους.

1. τὰ οἰκ. ἔχοντας] ᾠκοδομημένους D. ὅταν] ὅπου ἂν Coraes Plutarch. 5 p. 322. 2. ὠνομάσθη A, ὠνομάζεσθαι D. 3 — 4. om C. 3 et 4 ἤσμεν B: ceteri ᾔεμεν. 4. ἀπολογίαν A. 5. Δημ. — 6. γνήσιος om C. εὐεργέτου AB. § 52. 6. κιχρᾶσθαι D, κεχρῆσθαι ABC. 7. ἐν — οὐ om AB, — αἰτούμενος om C. τῇ Meinekius: vulgo τῷ. αἰτῶν om B. οὐδὲ λοπάδ'] οὐδόλως ante lacunam AB. 9. καὶ] δὲ καὶ BC. 10. κτήσεων BC. 11. ἠὼν AD. Τ.] immo Ἀριστοκράτους 199. 12. 4 7. 13. ἀμφιπολῖται A. 14. τὸ χωρίον] τὴν πόλιν C. addit C ἠχὼ ἡ κραυγή. 18. § 145. Il. 11 41? 19. καὶ om C. ἐν τῶ κατὰ B. § 29. 20. ὑπὲρ om A. τίθεσθαι AC, τίθεσθε BN. 21. Λυσίας] δημοσθένης A. 23. τοῦ om pr B. ἀπόλλωνος D, ἡλίου ABCG, φοίβου Stanleius. 25 — p. 95 9. om C. 25. § 40. κύριον om B. 27. § 295. ζον A.

Θέογνις· Λυσίας ἐν τῷ κατ' Ἐρατοσθένους. οὗτος εἷς ἦν τῶν παρ' Ἀθηναίοις λ' τυράννων, καθά φασιν ἄλλοι τε καὶ Ξενοφῶν ἐν β' Ἑλληνικῶν. τοῦ δὲ ποιητοῦ Θεόγνιδος μνημονεύει Ἰσοκράτης ἐν ταῖς πρὸς Νικοκλέα ὑποθήκαις· οὗτος δ' ἦν Μεγαρεύς, ἀπὸ τῶν πρὸς τῇ Ἀττικῇ Μεγάρων· αὐτὸς γάρ φησιν ὁ ποιητὴς "ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς Σικελήν ποτε γαῖαν." ᾧ μὴ ἐπιστήσας Πλάτων ἐν α' Νόμων τῶν ἐν Σικελίᾳ Μεγαρέων πολίτην ἔφασκεν [εἰς Σικελίαν]. κατηκολούθησαν δὲ τῷ Πλάτωνι οὐκ ὀλίγοι.

Θεοίνια· Λυκοῦργος ἐν τῇ διαδικασίᾳ Κροκωνιδῶν πρὸς Κοιρωνίδας. τὰ κατὰ δήμους Διονύσια Θεοίνια ἐλέγετο, ἐν οἷς οἱ γεννῆται ἐπέθυον· τὸν γὰρ Διόνυσον θέοινον ἔλεγον, ὡς δηλοῖ Αἰσχύλος καὶ Ἴστρος ἐν α' Συναγωγῶν.

Θεοκρίνης. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος λοιδορούμενος Αἰσχίνῃ φησὶ "τραγικὸς Θεοκρίνης." βούλεται δὲ λέγειν αὐτὸν συκοφάντην, ἐπειδὴ ὁ Θεοκρίνης τοιοῦτος, ὡς ἔστι δῆλον ἐκ τοῦ κατὰ Θεοκρίνου, εἴτε Δημοσθένους ἐστὶν εἴτε Δεινάρχου οὗτος ὁ λόγος· τὸν γοῦν πάλαι μὲν ὑποκριτὴν τραγικὸν ὕστερον δὲ συκοφάντην εἰκότως ὠνόμασε τραγικὸν Θεοκρίνην.

Θεράπναι· Ἰσοκράτης Ἑλένῃ. τόπος ἐστὶν ἐν Λακεδαίμονι Θεράπναι, οὗ μνημονεύει καὶ Ἀλκμὰν ἐν α'.

Θέρμαν· Αἰσχίνης ἐν τῇ παραπρεσβείας ἀπολογίᾳ. Θρᾴκιον τοῦτό ἐστι πόλισμα, ὡς καὶ Θεόπομπος ἐν κβ' φησίν.

Θερμοπύλαι· Ἰσοκράτης Πανηγυρικῷ. ἔνιοι μὲν τὴν πόλιν ταύτην Πύλας καλοῦσι· Φιλέας δέ φησιν ἐν γῆς περιόδῳ Θερμοπύλας κληθῆναι, ἐπεὶ ἐκεῖ ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ τῷ Ἡρακλεῖ ἐποίησε.

1. θεόγνιδες β, ὁ μὲν εἷς τῶν λ τυράννων, ὁ δὲ ποιητής, οὗ μνημονεύει ἰσοκράτης. ἦν δὲ μεγ. ἀπὸ — μεγ., ὡς αὐτός φησιν N. § 6. 3. 2 3 2. 4. § 43. δ' om B. 6. γὰρ om B. σικελίην ABN. 7. ὃ ABN. ὁ πλάτων BN. p. 190 7. 8. *Μεγαρέων πολίτην* Faber Epist. 2 37: μέγα (μέγαν N) ποτὲ ABGNO. ἔφασκεν] φησὶ καὶ Dobraeus p. 587, omissis εἰς Σικελίαν. 10. θεοίνιον codices. χοιρωνίδας BC, χοιρωνάδας A. 11. μήδους C. ἐλέγοντο BD, ἔλεγον C. οἱ] οἱ μὲν B. 12. γενηταὶ AB. ὡς — συναγωγῶν om C. 13. αἰσχίνης A. 14. § 319. 15. τραγικῶς C. 17. κατὰ] κατὰ τοῦ C. εἴτε δεινάρχου ἐστὶν C. 20 — 23. om C. 20. θεράπναι D, θεράπνη ABC. § 63. 21. ἀλκαῖος D. 22. παρὰ τῆς πρεσβείας A. § 27. 23. ἐστι τοῦτο A, ἐστι τὸ B. 24. § 90. 25. πύλας om A. 26. τῷ om AD.

Θέρσανδρος· Αἰσχίνης κατὰ Τιμάρχου. ὅτι παιδεραστὴς ἔτος σφοδρός, ϗ Ἀριστογείτων ἐν τῷ κατὰ Τιμάρχου δηλοῖ.

Θέσθαι ἀντὶ μὲν τοῦ ὑποθήκην λαβεῖν Ὑπερίδης ἐν τῷ πρὸς Ὑγιαίνοντα, ἀντὶ δὲ τοῦ προσέσθαι ϗ κυρῶσαι νόμον Δημοσθένης· ἐπὶ γὰρ τῶν νόμων λέγεται ὡς ἔθηκε μὲν ὁ νομοθέτης, ἔθετο δὲ ὁ δῆμος· Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν. ἐν μέντοι τῷ κατὰ Στεφάνου φησὶν "ἑαυτῷ νόμους ἰδίους θέμενον," μήποτε ἀντὶ τοῦ θέντα.

Θεσμός. ἐκαλεῖτο μὲν πάλαι ϗ εἷς ἕκαστος τῶν νόμων θεσμός, ϗ τὸ ὅλον δὲ τῆς πολιτείας σύνταγμα οὕτω κέκληκεν ὁ Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους.

Θεσμοθέται· Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος. ἀρχή τίς ἐστιν Ἀθήνησιν ἡ τῶν θεσμοθετῶν ἓξ τὸν ἀριθμὸν ὄντων, εἰσὶ δὲ ἐκ τῶν καλουμένων θ' ἀρχόντων. καλοῦνται δὲ οὕτως, ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον· θεσμοὶ δὲ ἐκαλοῦντο οἱ νόμοι, ὡς προείπομεν. ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατ' ἐνιαυτὸν ἕκαστον, εἴρηκεν Αἰσχίνης τε ἐν τῷ κατὰ Κτησιφῶντος ϗ Θεόφραστος ἐν γ' Νόμων. ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ διέρχεται ὅσα οὗτοι πράττουσιν.

Θέτης. μήποτε θέτην λέγουσι τὸν ὑποθήκην τεθεικότα, οὐχ ὡς Δίδυμος τὸν εἰσποιησάμενον· θετοὺς γὰρ ἔλεγον, φησί, τοὺς εἰσποιητούς.

Θετταλός· Λυσίας κατὰ Νικίδου. εἷς τῶν Κίμωνος παίδων Θετταλὸς ἐκαλεῖτο, ὥς φησιν Ἡλιόδωρος ἐν τῷ περὶ ἀκροπόλεως.

Θευδοσίαν. Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν ὅτι Σάτυρος Θευδοσίαν οἰκεῖ. ἔστι δὲ χωρίον κείμενον ἐγγὺς Σκυθῶν.

Θεωρικά· Δημοσθένης Φιλιππικῷ. θεωρικὰ ἦν τινὰ ἐν κοινῷ χρήματα, ἀπὸ τῶν τῆς πόλεως προσόδων συναγόμενα· ταῦτα

1. θέσανδρος C. § 52. 2. δηλοῖ] φησι BC. 3. τοῦ μὲν C. 4. τοῦ δὲ C. προσέσθαι N: vulgo προέσθαι. μόνον D. 5. μὲν om BG. 6. δὲ] καὶ BCG. τῶν om N. τελειῶν C. 7. 2 23. ἰδίως D. 8. μήποτε om D. δὲ ἀντὶ τοῦ θέντα θέμενον BC. 9. *θεσμόν.* τὸ ὅλον τῆς πολιτείας σύνταγμα θεσμὸν ὁ δημοσθένης ἐκάλει. ἐκαλεῖτο δὲ πάλαι καὶ εἷς ἕκαστος τῶν νόμων θεσμός· διὸ καὶ θεσμοθέται ἀρχή τις ἦν ἀθήνησιν, ἓξ — ἀρχόντων, κατ' ἐνιαυτὸν τοὺς νόμους ἕκαστον διορθοῦντες N. 11. § 62. 12. θεσμοθέτης B. ἐν τῷ om A. § 21. 14. ἐκ] καὶ ἐκ BC. 17. § 38. 18. γ^{η} C. τῇ ᾱ ἀθηναίων A. 19. πράσσουσι A. 20. ὡς] ὡς ὁ BC. 21. εἰσποιητάς AC. 25. τῶν om A. 26. οἰκεῖ om B et in lacuna A. an οἰκίζει? πολιτείας A. γινόμενα C.

δὲ πρότερον μὲν εἰς τὰς τȣ̃ πολέμȣ χρείας ἐφυλάττετο ϗ ἐκαλεῖτο ϛρατιωτικά, ὕϛερον δὲ κατετίθετο εἴς τε τὰς δημοσίας κατασκευὰς ϗ διανομάς, ὧν πρῶτος ἤρξατο Ἀγύρριος ὁ δημαγωγός. Φιλόχορος δὲ ἐν τῇ γ' τῆς Ἀτθίδος φησὶ "τὸ δὲ θεωρικὸν ἦν τὸ πρῶτον νομισθὲν δραχμὴ τῆς θέας, ὅθεν ϗ τȣ̃νομα ἔλαβε" ϗ τὰ ἑξῆς. Φιλῖνος δὲ ἐν τῇ πρὸς Σοφοκλέȣς ϗ Εὐριπίδȣ εἰκόνας περὶ Εὐβȣ́λȣ λέγων φησὶν "ἐκλήθη δὲ θεωρικόν, ὅτι τῶν Διονυσίων ὑπογύων ὄντων διένειμεν Εὔβȣλος εἰς τὴν θυσίαν, ἵνα πάντες ἑορτάζωσι ϗ τῆς θεωρίας μηδεὶς τῶν πολιτῶν ἀπολείπηται δι' ἀσθένειαν τῶν ἰδίων." ἄλλοτε μέντοι ἄλλως ὡρίσθη τὸ διδόμενον εἴς τε τὰς θέας ϗ εἰς τὰς θυσίας ϗ ἑορτάς, ὡς ἔϛι δῆλον ἔκ τε τȣ̃ α' Φιλιππικῶν Δημοσθένȣς. ὅτι δὲ ȣ̓κ ἐξῆν τοῖς ἀποδημȣ̃σι θεωρικὸν λαμβάνειν, Ὑπερίδης δεδήλωκεν ἐν τῷ κατ' Ἀρχεϛρατίδȣ. ἦν δὲ ἀρχή τις ἐπὶ τȣ̃ θεωρικȣ̃, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος δεικνύει. Θεωροὶ μέντοι λέγονται ȣ̓ μόνον οἱ θεαταὶ ἀλλὰ ϗ οἱ εἰς θεȣ̀ς πεμπόμενοι, ϗ ὅλως τȣ̀ς τὰ θεῖα φυλάττοντας ἢ τῶν θείων φροντίζοντας ȣ̔́τως ὠνόμαζον· ὤρην γὰρ ἔλεγον τὴν φροντίδα· "ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε."

Θεωρίς· Δημοσθένης ἐν τῷ κατ' Ἀριϛογείτονος, εἰ γνήσιος. μάντις ἦν ἡ Θεωρίς, ϗ ἀσεβείας κριθεῖσα ἀπέθανεν, ὡς ϗ Φιλόχορος ἐν ϛ' γράφει.

Θημακεύς· Ἀνδοκίδης ἐν τῷ περὶ μυϛηρίων. δῆμός ἐϛι φυλῆς τῆς Ἐρεχθηΐδος Θήμακος, ὥς φησι Διόδωρος ὁ περιηγητὴς ἐν τῷ περὶ τῶν δήμων.

Θηραμένης· Λυσίας ἐν τῷ κατ' Ἐρατοσθένȣς. ὃς ἀνῃρέθη κατηγορήσαντος αὐτȣ̃ Κριτίȣ ἐπὶ τῶν λ'.

Θησεῖον· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τέμενός ἐϛιν ἀνειμένον τῷ Θησεῖ.

Θῆτες ϗ θητικόν. Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνȣ φησὶ "τȣ̀ς

2. ϛρατηγικὰ D. 3. ἀργύριος BC. 4. φιλόχωρος C. τῶν ἀτθίδων BC. 5. πρότερον D. 6. Φιλῖνος — 20. om C. τῇ περὶ πρὸς AB. 7. εἰκόνος AB. 8. διότι D. διένειμον B. Εὔβȣλος om AB. 10. ἀπολίπηται codices. ἔνδειαν BD. τῶν ἰδίων] ἀναλωμάτων D. 11. τε om B. 15. § 25. 17. οἱ om B. 17. τὸν θεὸν φυλ. ἢ τὸ θεῖον ἀποφροντίζοντας D. 19. Hes. O et D 21. κατὰ γείτονος B. § 70. 24. Ἀνδοκίδης om C. π μυς. C. 25. Θήμακος om B. 27. § 50. 29. § 129. 31. ἐν τῷ

τε θῆτας ἅπαντας ὁπλίτας ποιῆσαι" ϗ Δημοσθένης ἐν τῷ περὶ Ἁγνίȣ κλήρȣ "τῶν ἐπικλήρων ὅσαι θητικὸν τελȣ̃σιν." εἰς τέσσαρα διῃρημένης παρ' Ἀθηναίοις τῆς πολιτείας οἱ ἀπορώτατοι ἐλέγοντο θῆτες ϗ θητικὸν τελεῖν. ȣ̃τοι δὲ ȣ̓δεμιᾶς μετεῖχον ἀρχῆς, ὡς ϗ Ἀριςοτέλης δηλοῖ ἐν Ἀθηναίων πολιτείᾳ. ὅτι δὲ ȣ̓κ ἐςρατεύοντο, εἴρηκε ϗ Ἀριςοφάνης ἐν Δαιταλεῦσιν. ὁ μέντοι Δημοσθένης ἐν τοῖς προκειμένοις ἐπικλήρων ὠνόμασε τὴν πενιχρὰν κόρην, ἣν θῆσσαν ὀνομάζȣσιν οἱ Ἀττικοί. ἐπάναγκες δὲ ἦν τοῖς ἔγγιςα γένȣς τὰς θήσσας ἢ λαμβάνειν πρὸς γάμον ἢ ε' μνᾶς διδόναι, ὡς ϗ Ποσείδιππός τε ὁ κωμικός φησιν.

Θίασος· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνȣ. θίασός ἐςι τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ θεῶν· Ξενοφῶν ἐν β' Ἀπομνημονευμάτων. Ἴων δὲ ἐν Ὀμφάλῃ κοινῶς ἐπὶ παντὸς ἀθροίσματος ἔταξε τȣ̓́νομα. θιασῶται δ' ἐκαλȣ̃ντο οἱ κοινωνȣ̃ντες τῶν θιάσων· Ἰσαῖος ἐν τῷ περὶ Ἀςυφίλȣ κλήρȣ.

Θίμβρων· Ἰσοκράτης Πανηγυρικῷ. Λακεδαιμόνιος ἦν ȣ̃τος πεμφθεὶς εἰς τὴν Ἀσίαν ἁρμοςὴς μετὰ τὰ Πελοποννησιακά.

Θόλος· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνȣ. ὁ τόπος ἔνθα ἐδείπνȣν οἱ πρυτάνεις ȣ̃τως ἐκαλεῖτο παρ' Ἀθηναίοις. Ἀμμώνιος γȣ̃ν ἐν δ' περὶ βωμῶν γράφει ταυτί "ὁ δὲ τόπος ὅπȣ ἑςιῶνται οἱ πρυτάνεις καλεῖται θόλος, ὑπ' ἐνίων δὲ σκιάς, διὰ τὸ ȣ̃τως ᾠκοδομῆσθαι αὐτὸν ςρογγύλον παρόμοιον θολίᾳ."

Θόραι δῆμος τῆς Ἀντιοχίδος, ὥς φησι Διόδωρος.

Θόρικος· Ἰσαῖος ἐν τῷ κατὰ Ποσειδίππȣ. δῆμός ἐςι τῆς Ἀκαμαντίδος, ὡς ὁ αὐτὸς Διόδωρός φησιν ἐν τῷ περὶ τῶν δήμων.

Θριπήδεςον. Ὑπερίδης ἐν τῷ κατὰ Δημάδȣ θριπήδεςον τὴν

1. καὶ om BC. 2. θητικαὶ C. 3. εὐπορώτατοι ante lacunam BC. 4. ἐτελεῖτο ABC. μηδεμιᾶς C. 5. φησὶν C. 7. ὁ — 11.] καὶ θῆσσον δὲ ὠνόμαζον οἱ ἀττικοὶ τὴν πενιχρὰν κόρην, ἣν ἐπάναγκες ἦν τȣ̀ς ἔγγιςα γένȣς ἢ λαμβάνειν ταύτας πρὸς γάμον ἢ ε' μνᾶς διδόναι :– D. 9. ἐπάναψις BC. λαμβάνειν τὰς θήσσας ἢ C. 10. ποσίδιππος BC. 12. § 199. 13. τέλει D. θεȣ̃ D. 2 1 31. 14. κοινῶς μὲν ἐπὶ BC. 16. § 30. 17. § 144. ȣ̃τος ἦν AB. 19. αἰσχίνȣς C. § 249 et 314. 20. γȣ̃ν add BCG. 21. κωμῶν BC. εἰςιῶντο B, ἑςιῶντο CG. 22. σκιαὶ BCG. 23. αὐτὸν om B. 24 — 26. om C. 25. θόριπος B. ποσιδίππȣ B. 26. ὡς om B. 27. θριπήδεςτον BC utrobique.

Ἑλλάδα εἶπεν ἀντὶ τῆς διεφθαρμένην, ἀπὸ τῶν ὑπὸ θριπῶν κατεδηδεσμένων ξύλων.

Θρόνιον· Αἰσχίνης ἐν τῷ παραπρεσβείας. πόλις ἐστὶ τῆς Λοκρίδος Θρόνιον, ὡς Θεόπομπος ἐν τῇ

Θυμαιτάδαι δῆμος τῆς Ἱπποθοωντίδος, ἀπὸ Θυμαίτου ἥρωος ὀνομασθείς, ὥς φησι Διόδωρος.

Θυργωνίδαι· Ἰσαῖος ἐν τῷ πρὸς Νικοκλέα. Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τῷ περὶ τῶν δήμων "μετετέθησάν" φησιν "ἐξ Αἰαντίδος Ἀφιδναῖοι Περσίδαι Τιτακίδαι Θυργωνίδαι." φησὶ δὲ καὶ Δημήτριος ὁ Σκήψιος ἐν β' Διακόσμου τῆς Πτολεμαΐδος φυλῆς τὸν δῆμον εἶναι.

Θύστιον· Αἰσχίνης κατὰ Κτησιφῶντος. πόλις ἐστὶ τῆς Αἰτωλίας, καθά φησι Δίδυμος ἐπαγόμενος μαρτύριον ἐκ τῆς α' Νικάνδρου τῶν Αἰτωλικῶν. ἡμεῖς μέντοι ἐν τοῖς Ἀττικιανοῖς διὰ τοῦ τ Θύτιον εὕρομεν γεγραμμένον.

Ἰδίαν ἀντὶ τοῦ ἰδιωτικήν Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. ἐλέγετο δὲ τὸ ἴδιον καὶ ἰδιωτικόν, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ πρὸς Ζηνόβιον.

Ἰδριεύς· Ἰσοκράτης Φιλίππῳ. δυνάστης ἦν οὗτος ἐν Καρίᾳ, υἱὸς Ἑκατόμνου, ἀδελφὸς δὲ Μαυσώλου καὶ Ἀρτεμισίας.

Ἱέραξ· Δημοσθένης ἐν α' Φιλιππικῶν. ὅτι ὁ Ἱέραξ εἷς ἦν τῶν ὑπ' Ἀμφιπολιτῶν πεμφθέντων πρέσβεων Ἀθήναζε, βουλομένων αὐτῶν Ἀθηναίοις παραδοῦναι καὶ τὴν πόλιν καὶ τὴν χώραν, εἴρηκε Θεόπομπος ἐν γ' Φιλιππικῶν.

Ἱερὰ ὁδός· Ἰσαῖος ἐν τῇ πρὸς Διοφάνην ἀπολογίᾳ. Ἱερὰ ὁδός ἐστιν ἣν οἱ μύσται πορεύονται ἀπὸ τοῦ ἄστεος ἐπ' Ἐλευσῖνα. βιβλίον ἓν ὅλον Πολέμωνι γέγραπται περὶ τῆς Ἱερᾶς ὁδοῦ. μνημονεύει δ' αὐτῆς Κρατῖνος ἐν Δραπέτισιν.

1. εἶπεν add D. τῶν] τοῦ C. θρίπων A, τῶν θριπῶν B. 2. κατεδηδεσμένων DN, κατεδηδομένων BC, κατεδηδομένη A. 3. τῷ παρὰ τῆς πρεσβείας A. § 132. 4. τὸ θρόνιον A. ἐν τῇ] φησίν CG. 5. θυμαιτάδαι ABCD et mox θυμαίτου BC: vulgo θυμοιτάδαι et θυμοίτου. cf. Boeckh. Inscript. t. 1 p. 226 b. τῆς add BN. τοῦ ἥρωος A. 7. νεοκλέα A. 8. θυαστειρινὸς ABC. 9. αἰσαντίδος AB. ἀφνιδαῖοι A. cf. Boeckh. p. 309 b. 10. καὶ om B. 12. § 122. 13. ἐναγόμενος codices. 14. αἰτωλικῶν. θύτιον δέ τινες ἄνευ τοῦ σ :– D. ἀττικισμοῖς C et corr B. cf. Dobraeus Phot. p. 740. 16. διογένης BC. 17. ὁ om C. 18. Ζηνόθεμιν Valesius. legebat igitur πρᾶγμα ἰδιωτικόν § 32. 19. § 103. codices φιλιππικῷ. 21. φιλιππικῷ C. Olynth. 1 8. 26. ἀπὸ ἄστεως D. 27. βυβλίον B, ut solet. 28. ἐν δραπέταις BCG. ἐνδραπέτισιν A.

ἱερὰ τριήρης. Δημοσθένης ἐν δ' Φιλιππικῶν "καὶ τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετο ἔχων τριήρη." λέγοι ἂν τὴν Πάραλον, ὡς συνιδεῖν ἔστιν ἔκ τε τῆς Φιλοχόρου καὶ ἐκ τῆς Ἀνδροτίωνος ὁμοίως ϛ'.

ἱερομηνία· Δημοσθένης κατὰ Τιμοκράτους. αἱ ἑορτώδεις ἡμέραι ἱερομηνίαι καλοῦνται.

ἱερομνήμονες· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν τοῦ συνεδρίου μετεχουσῶν οὕτω καλοῦνται, ὡς σαφὲς ποιεῖ Θεόπομπος ἐν τῇ λ'.

ἱεροφάντης. Ὑπερίδης φησί που "ἐγὼ δὲ οὔτε δᾳδούχου θυγατέρα ἔχω οὔτε ἱεροφάντου." Δείναρχος ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ ὠνομάσθη φησὶ τὸν πρῶτον ἱεροφάντην τὸν ἀποφήναντα ἐκ τοῦ πολέμου ἐπιόντα τὰ ἱερά. περὶ δὲ τοῦ γένους τῶν ἱεροφαντῶν δεδήλωκεν Ἑλλάνικος ἐν β' Ἀτθίδος.

Ἱερώνυμος· Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσην. Ἱερωνύμου τοῦ στρατηγήσαντος Ἀθηναίων ἄλλοι τε μνημονεύουσι καὶ Ἔφορος ἔν τε τῇ ιη' καὶ ἐν τῇ ιθ'. ἕτερος δ' ἐστὶν Ἱερώνυμος Μεγαλοπολίτης, οὗ μνημονεύει Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ὅτι δ' οὗτος ἦν τῶν μακεδονιζόντων μάλιστα, καὶ Θεόπομπος εἴρηκεν ἐν τῇ να'.

ἰθύφαλλοι. Ὑπερίδης ἐν τῷ κατ' Ἀρχεστρατίδου "οἱ τοὺς ἰθυφάλλους ἐν τῇ ὀρχήστρᾳ ὀρχούμενοι." ποιήματά τινα οὕτως ἐλέγετο τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα, ὡς Λυγκεὺς ἐν ταῖς ἐπιστολαῖς φησίν· Δημοσθένης δὲ ἐν τῷ κατὰ Κόνωνος ἐπὶ ἐπωνύμου τεθειμένου τισὶ κατὰ παιδιὰν ἔταξεν αὐτό. ἐλέγετο δὲ κυρίως ἰθύφαλλος τὸ ἐντεταμένον αἰδοῖον, ὡς Κρατῖνος ἐν Ἀρχιλόχοις.

Ἰκαριεύς· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. δῆμός ἐστι τῆς Αἰγηΐδος, ὥς φησι Διόδωρος.

ἱκετηρία· Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ. ἱκετηρία καλεῖται ἐλαίας κλάδος στέμματι ἐστεμμένος.

1. l 34. 3. φιλοχώρου C. καὶ ἐκ] ἔκ τε C. 5. ἱερομηνία ἡ ἑορτώδης ἡμέρα N. § 29. 7. § 148. 11. διαδόχου θυγατέραν B. 12. κροκονιδῶν C. 13. ὠνομάσθη A. 14. ἀπιόντα D, ἐπανιόντα Valesius. 18. ἔν τε τῇ ιη καὶ ιη A, ἐν τῇ ιη καὶ ιθ B. 19. de cor. 296. 21. ν om C. 22. ἀρχιστρατίδου BC. 23. ποιήματα δέ τινα D. 24. ταῖς om C. 25. § 14. 27. ἐντεταγμένον A. ἀρχιλόχου C. 29. τῆς] φυλῆς τῆς A. 30. de Fl. 15. 31. στέμματι ἐρίῳ ἐσ. B.

Ἰόνιος· Λυσίας ἐν Ὀλυμπιακῷ. τὸν Ἀδρίαν καλούμενον οὕτως ὠνόμαζον ἐνίοτε οἱ παλαιοί. "Ἐπίδαμνός ἐστι πόλις ἐς δεξιὰ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον" Θουκυδίδης α'.

ἰπνός· Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος α'. μέρος τι τῆς οἰκίας οὕτω καλεῖται, τὸ λεγόμενον παρ' ἡμῖν μαγειρεῖον· ἔστι γοῦν δρᾶμα Φερεκράτους Ἰπνὸς ἢ Παννυχίς, ἐν ᾧ δηλοῦται τοῦτο, ὅτι μέρος ἐστὶ τῆς οἰκίας. λέγεται δὲ κυρίως ἰπνὸς ἡ κάμινος, ὅθεν καὶ ἰπνοπλάθους τινὰς ὀνομάζουσιν.

Ἵππαρχος· Δημοσθένης ἐν τῷ κατὰ Κτησιφῶντος. τύραννος ἦν οὗτος Ἐρετρίας. ἕτερος δ' ἐστὶν Ἵππαρχος περὶ οὗ Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονός φησιν, Ἵππαρχος ὁ Πεισιστράτου. ἄλλος δέ ἐστιν Ἵππαρχος ὁ Χάρμου, ὥς φησι Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους· περὶ δὲ τούτου Ἀνδροτίων ἐν τῇ β' φησὶν ὅτι συγγενὴς μὲν ἦν Πεισιστράτου τοῦ τυράννου καὶ πρῶτος ἐξωστρακίσθη τοῦ περὶ τὸν ὀστρακισμὸν νόμου τότε πρῶτον τεθέντος διὰ τὴν ὑποψίαν τῶν περὶ Πεισίστρατον, ὅτι δημαγωγὸς ὢν καὶ στρατηγὸς ἐτυράννησεν. ἄλλος δ' ἐστὶν Ἵππαρχος ὑποκριτής, οὗ μνημονεύει Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ γνήσιος. λέγεται δὲ παρ' Ἀθηναίοις ἵππαρχος καὶ ὁ τῶν ἱππέων ἄρχων· δύο δ' ἦσαν οὗτοι, ὡς Δημοσθένης ἐν δ' Φιλιππικῶν φησὶ καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

ἱππάς. Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀπολλοδώρου κλήρου "ἀπεγράψατο μὲν τίμημα μικρὸν ὡς ἱππάδα τελῶν." Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶν ὅτι Σόλων εἰς δ' διεῖλε τέλη τὸ πᾶν πλῆθος Ἀθηναίων, πεντακοσιομεδίμνους καὶ ἱππέας καὶ ζευγίτας καὶ θῆτας.

ἱππία Ἀθηνᾶ· Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα. Μνασέας ἐν α' Εὐρώπης τὴν ἱππίαν Ἀθηνᾶν Ποσειδῶνος εἶναί φησι θυγα-

1. ὀλυμπικῶ A. καλοῦμεν A. 2. ἐν δεξιᾷ εἰσπλέοντι BCG. 3. ἐν α'. B. c. 24. 4 et 6 et 7. ἱπνὸς A. α' om pr B. 6. φερεκράτει AC. ἢ] ἡ C. 7. τῆς οἰκίας ἐστί A. δὲ om B. ἰπνὸς κυρίως BC. 8. καὶ om C. ἰπνοπλάστας BCG. τινες B.

9. § 295 extr. 13. § 117. 16. πεισιστράτου BC. 18. § 26. 20. δ' G. Phil. 1 27. 22. § 39. 23. ἱππεῦσι C. 24. ὅτι εἰς δ' ὁ σόλων διεῖλεν N. τέσσαρα D, τέτταρα ABC. τέλη om A et pr B. καὶ] εἰς D. 26. καὶ om ABD. ζευγήτας AC. post θῆτας D τῶν οὖν ἱππέων αἱ ἱππάδες. 27. ἱππασία A. μνασαίας A, μνησέας C. 28. Εὐρώπης om BC. ἱππείαν A.

τέρα καὶ Κορύφης τῆς Ὠκεανοῦ, ἅρμα δὲ πρώτην κατασκευάσασαν διὰ τοῦτο ἱππίαν κεκλῆσθαι.

Ἱπποδάμεια· Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. ἀγοράν φησιν εἶναι ἐν Πειραιεῖ καλουμένην Ἱπποδάμειαν ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος τοῦ οἰκοδομησαμένου τοῖς Ἀθηναίοις τὸν Πειραιᾶ.

ἴσα βαίνων Πυθοκλεῖ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου ἀντὶ τοῦ συνὼν ἀεὶ καὶ μηδὲ βραχὺ ἀφιστάμενος. καὶ ἐν τῷ κατὰ Στεφάνου α' φησὶν "Ἀριστολόχῳ τῷ τραπεζίτῃ ἴσα βαίνων ἐβάδιζε." Μένανδρος "παρ' αὐτὸν ἴσα βαίνουσ' ἑταίρα πολυτελής."

ἴσαι ψῆφοι. Αἰσχίνης κατὰ Κτησιφῶντος "ἕτερος δὲ πλεύσας ἰδιώτης εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην μέν ποτε ἐσηγγέλθη καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο, εἰ δὲ μία ψῆφος μετέπεσεν, ὑπερώριστο ἂν καὶ ἀπέθανεν."

Ἰσαῖος. εἷς μέν ἐστι τῶν ι' ῥητόρων οὗτος, μαθητὴς δὲ Ἰσοκράτους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος, καθά φησιν Ἕρμιππος ἐν β' περὶ τῶν Ἰσοκράτους μαθητῶν. Δημήτριος δ' ἐν τοῖς περὶ ὁμωνύμων ποιητῶν Χαλκιδέα φησὶν αὐτὸν εἶναι.

Ἰσμηνίας· Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. εἷς τῶν παρ' Ἀθηναίοις ἦν πολέμαρχος ἐπιφανής.

ἰσοδαίτης· Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης. ξενικός τις δαίμων, ᾧ τὰ δημώδη γύναια καὶ μὴ πάνυ σπουδαῖα ἐτέλει.

ἰσοτελὴς καὶ ἰσοτέλεια· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου πολλάκις. τιμή τις διδομένη τοῖς ἀξίοις φανεῖσι τῶν μετοίκων, καθ' ἣν καὶ τοῦ μετοικίου ἄφεσις αὐτοῖς ἐγίγνετο, ὡς Λυσίας ἐν τῷ πρὸς Σώστρατον ὕβρεως, εἰ γνήσιος. ὅτι δὲ καὶ τῶν ἄλλων ὧν ἔπραττον οἱ μέτοικοι ἄφεσιν εἶχον οἱ ἰσοτελεῖς, Θεόφρα-

1. Κορυφῆς Valesius, πολύφης ABCD, νύμφης N, λύφης margo N. ἅρμα — 2. om BC. 2. τοῦτο A. κληθῆναι D. 3. § 22. εἶναι ἀγοράν φησιν A. 4. καλουμένῳ C. Ἱπποδάμειαν om pr B. 5. τοῦ ἀρχ. τοῦ BC. 7. ποθοκλεῖ B. cf. Buttmann. ap. Friedemann. Misc. crit. 2 p. 49. Δημ. — Αἰσχ. post 8. ἀφιστάμενος C. § 314. 9. § 63. 10. αὐτῶν BC. ἑτέρα D. πολυετής BCG. 11. § 252. 13. εἰσηγγέλθη ABC. αἱ om A. 14. ὑπερέπεσεν AD et margo B, ὑπηρέτησεν B, ὑπερέβαινεν C. 15. μέν add D. δὲ] δ' ἦν A, ἦν BC. Ἰσοκράτους — 17. περὶ om BC. 17. εὔριπος A. μαθητῶν Valesius, μαθημάτων ABC. 18. αὐτὸν εἶναι φησίν C. 20. κατ' ἐρασυβούλου C. 21. τῶν om D. παρὰ Θηβαίοις Valesius. 22. ἰσοδέτης A. 26. αὐτοὺς C. 27. ὕβρεως om C.

ϛος εἴρηκεν ἐν ια΄ τῶν Νόμων· ἔτος δέ φησιν ὡς ἐνιαχȣ͂ ϗ πόλεσιν ὅλαις ἐψηφίζοντο τὴν ἀτέλειαν Ἀθηναῖοι, ὥσπερ Ὀλυνθίοις τε ϗ Θηβαίοις. ἔϛι δὲ μαθεῖν ἐκ τȣ͂ προγεγραμμένȣ Ἰσαίȣ λόγȣ ϗ ὅσα ἐτέλει ὁ ἰσοτελής.

Ἴσχανδρος· Δημοσθένης κατ᾽ Αἰσχίνȣ. τραγικὸς ὑποκριτὴς ὁ Ἴσχανδρός ἐϛι. δοκεῖ δ᾽ αὐτῷ συνυποκρινόμενος Αἰσχίνης ὁ ῥήτωρ ἐν Κολλυτῷ καταπεσεῖν, καθά φησι Δημοχάρης ἐν τοῖς Διαλόγοις.

Ἰτεαῖος· Λυσίας ἐν τῷ κατὰ Νικίȣ. δῆμός ἐϛι τῆς Ἀκαμαντίδος Ἰτέα, ἀφ᾽ ἧς ὁ δημότης Ἰτεαῖος, ὥς φησι Διόδωρος.

Ἴων· Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. Ἴωνος τȣ͂ τῆς τραγῳδίας ποιητȣ͂ μνημονεύοι ἂν νῦν ὁ ῥήτωρ, ὃς ἦν Χῖος μὲν γένος, υἱὸς δὲ Ὀρθομένȣς, ἐπίκλησιν δὲ Ξȣ́θȣ. ἔγραψε δὲ ϗ μέλη πολλὰ ϗ τραγῳδίας ϗ φιλόσοφόν τι σύγγραμμα τὸν Τριαγμὸν ἐπιγραφόμενον, ὅπερ Καλλίμαχος ἀντιλέγεσθαί φησιν ὡς Ἐπιγένȣς· ἐν ἐνίοις δὲ ϗ πληθυντικῶς ἐπιγράφεται Τριαγμοί, καθὰ Δημήτριος ὁ Σκήψιος ϗ Ἀπολλωνίδης ὁ Νικαεύς. ἀναγράφȣσι δὲ ἐν αὐτῷ τάδε "ἀρχὴ ἥδε μοι τȣ͂ λόγȣ. πάντα τρία ϗ πλέον ȣ̓δὲ ἔλασσον. τȣ́των τῶν τριῶν ἑνὸς ἑκάϛȣ ἀρετὴ τριάς, σύνεσις ϗ κράτος ϗ τύχη."

Ἰωνία χώρα, ϗ Ἰωνίας πόλεις ια΄, Ἔφεσος, Ἄνδροκλος, Μίλητος, Μυȣ͂ς, Κλαζομεναί, Χίος, Σάμος.

Ἰωνικῶς ἀντὶ τȣ͂ ἁβρῶς, τρυφηλῶς. Ἀριϛοφάνης "ἐλȣτροφόρȣν τε ϗ διεκίνȣν Ἰωνικῶς."

Καβύλη· Δημοσθένης ἐν η΄ Φιλιππικῶν. χωρίον ἐϛὶ τῆς Θρᾴκης, ὥς φησι Θεόπομπός τε ἐν μζ΄ καὶ Ἀναξιμένης ἐν η΄

1. ἐν τῇ ια C, ἐν τῇ α΄ pr B. ὡς om B. 2. an ἰσοτέλειαν? οἱ ἀθηναῖοι AB. 3. θηβαίοις] ἀθηναίοις AB. ἔϛι] ἔτι C. ἔϛι — 4.] ὁ δὲ ἰσοτελὴς ὡρισμένον τι τέλος ἐδίδȣ D. ἐκ] κὰκ C. προσγεγραμμένȣ A. 5. ἴσχρανδρος D. de FL 10. ὑποκρ.] ποιητὴς C. 7. κολύττω A, καλύττω BG, καλυττῷ C. καπεσεῖν C. 9 — 10. om C. 9. νικίδȣ A. 11. ὁ σωκράτης A. § 268. 12. μνημονεύȣι νῦν N. χίων C. 13. ὀρθομενȣ͂ς ABC, ὀρθομανȣ͂ς N. δὲ om BCGN. 14. καὶ post δὲ add BC. τὸ C. 15. τραγικὸν BC. 16. ἐπὶ γένȣς BC. 18. ἥδε Lobeck. Aglaopham. p. 385: codices δέ. μοι] μὴ C. 19. ȣ̓δὲ ἔλασσον] ȣ̓δὲν ȣ̓δὲ ἔλασσον Lobeckius, τȣ͂δε πλέον ἔλασσον codices. τῶν om A. 20. τρία Dobraeus p. 587. 21 — 24. om A. 21. Ἀνδρόκλȣ Kusterus. 22. χῖος C. 23. Ἰωνικῶς] ἰωνικῶς ἑλληνικῶς ἀθηναίως ἀρχαίως. ἰωνικῶς B. Thesmoph. 163. 25. κραβύλη BC, καλύβη D. de Chers. 44. χωρίον — p. 104 1. Φιλιππικῶν om BC.

Φιλιππικῶν. ὗτος δέ φησιν αὐτὸ ἱδρύϑη πρὸς Τάξῳ ποταμῷ κατὰ μέσον τῆς Θρᾴκης.

καδίσκος· Ἰσαῖος ἐν τῷ περὶ τῦ Ἁγνίυ κλήρυ. ἀγγεῖόν τι εἰς ὃ ἐψηφοφόρυν οἱ δικαςαὶ ὕτως ἔλεγον. Φρύνιχος Μούσαις "ἰδύ, δέχυ τὴν ψῆφον. ὁ καδίσκος δέ σοι ὁ μὲν ἀπολύων οὗτος, ὁ δ' ἀπολλὺς ὁδί."

Καδμεία· Ἰσοκράτης Πανηγυρικῷ. τῆς Καδμείας ϗ οἱ ἄλλοι ῥήτορες πολλάκις μνημονεύυσι, λέγεϑ δὲ ὕτως ἡ τῶν Θηβαίων ἀκρόπολις, ὡς παρὰ πᾶσι χεδὸν τοῖς ἱςορικοῖς ὡμολόγηϑ.

καϑάρσιον· Αἰχίνης κατὰ Τιμάρχυ. ἔϑος ἦν Ἀϑήνησι καϑαίρειν τὴν ἐκκλησίαν ϗ τὰ ϑέατρα ϗ ὅλως τὰς τῦ δήμυ συνόδυς μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὠνόμαζον καϑάρσια. τῦτο δ' ἐποίυν οἱ λεγόμενοι περιςίαρχοι, οἵπερ ὠνομάσϑησαν ὕτως ἤτοι ἀπὸ τῦ περιςείχειν ἢ ἀπὸ τῆς ἑςίας.

καϑελών. Δημοσϑένης ἐν τῷ κατ' Ἀριςοκράτυς φησὶν "ἢ ἐν ὁδῷ καϑελών" ἀντὶ τῦ ἀνελὼν ἢ ἀποκτείνας. ἐχρήσαντο δὲ ὕτω τῷ ὀνόματι ϗ ἄλλοι, ὡς ϗ Στησίχορος ἐν Ἰλιοπερσίδι ϗ Σοφοκλῆς ἐν Εὐμήλῳ.

καϑήκοντα. Δημοσϑένης ἐν ια' Φιλιππικῶν φησὶν "ὅςις ὑκ ἠξίυ τὰ καϑήκοντα ἐφ' ἑαυτὸν ποιεῖν" ἀντὶ τῦ τὰ ἥκοντα ἐφ' ἑαυτόν.

κάϑετος ὁ καϑιέμενος εἰς τὸ πέλαγος ἀμνός· Λυσίας ἐν τῷ κατὰ Τελαμῶνος. διείλεκϑ περὶ τῦ καϑέτυ Μελίτων ἐν α' περὶ τῶν Ἀϑήνησι γενῶν.

καὶ γδ' τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν. Ἰσοκράτυς ἐν Βυσίριδι περὶ Λακεδαιμονίων ταῦτα λέγοντος ῥητέον ὅτι ϗ οἱ τὰς Λακεδαιμονίων πολιτείας γεγραφότες τὰ ὅμοια εἰρήκασιν· ὁ δὲ Ἀριςοτέλης ὺκ ἐξεῖναί φησιν ἀποδημεῖν τοῖς Λακεδαιμονίοις, ὅπως μὴ ἐϑίζωνϑ ἄλλων νόμων εἶναι φίλοι. τῦ μέντοι Ἰσο-

1. ἱδρύσασϑαι πρὸς τῷ τ. A. Ἀξιῷ Meursius. 3. § 21. τι om BC. 4. ἐψηφηφόρυν B. 6. ὁ om BC. ἀπολλὺς δ' pr B. 7. § 52. 10. καϑάρσια A. ἐν τῷ κατὰ B. § 23. 12. χειριδίοις N, ἐγχειριδίοις C. 14. ἤτοι] ἢ N, om BC. 15. § 53. ἢ ἐν] ἦν A, ἣν BC. 16. ὁδὸν C. 17. ἡλίυ περσίδι ABC, περσίδυ O, Ἰλίυ πέρσει Maussacus: cf. var. lect. Athenaei p. 610 c. sicut enim qui Lan exciderunt λαπέρσαι, ita, qui Ilium, Ἰλιοπέρσαι. 19. δεκάτῃ Valesius. Phil. 4 37. 20. τὰ post τῦ om BC. ἐφ' ἑαυτόν om D. 23. αη C. 25. τὸ] τῶν B. 26. ἐν τῷ β. BC. § 18. 28. εἰληφότες C. 30. μηδὲ ἐϑ. τῶν ἄλλων A.

κράτους τοὺς μαχίμους μόνους λέγοντος κωλύεσθαι ἀποδημεῖν οἱ περὶ Ἀριστοτέλην τοὺς πάντας Λακεδαιμονίους φασίν.

καινῶς Ἰσοκράτης Πανηγυρικῷ, οἷον ὡς τοῖς νεωτέροις ἁρμόττει πράγμασιν. Ἔφορος δὲ τρόπον τινὰ ἐξηγήσατο αὐτὸ ἐν τῇ α΄.

κακοτεχνιῶν δίκης ὄνομα, ἣν οἱ ἑλόντες τινὰ ψευδομαρτυριῶν κατὰ τοῦ παρασχομένου αὐτοῦ ἐδίδοσαν· Δημοσθένης ἐν τῷ κατὰ Τιμοθέου τίσεως, εἰ γνήσιος, καὶ ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου.

κακῶς εἰδότες ἀντὶ τοῦ ἀγνοοῦντες Ἰσοκράτης περὶ εἰρήνης.

κακώσεως δίκης ὄνομά ἐστι ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν· Δημοσθένης κατὰ Τιμοκράτους καὶ Λυσίας ἔν τε τῷ περὶ τοῦ Ἡγησάνδρου κλήρου καὶ ἐν τῷ ὑπὲρ τοῦ Πυράνδρου κλήρου. ὅτι δὲ ἐξῆν καὶ παντὶ τῷ βουλομένῳ γράφεσθαι κακώσεως γονέων καὶ ταῖς ἐπικλήροις βοηθεῖν, δηλοῦται ἔν τε τῷ προειρημένῳ λόγῳ Ὑπερίδου καὶ ἐν τῷ Λυσίου κατὰ Φιλωνίδου βιαίων, εἰ γνήσιος. ἦν δὲ καὶ ἄνευ ὕδατος.

Καλαυρία· Δημοσθένης ἐν τῇ περὶ τῆς ἑαυτοῦ καθόδου ἐπιστολῇ. νῆσός ἐστι πλησίον Τροιζῆνος, ὡς Ἑκαταῖος ἐν περιόδῳ τῆς γῆς ἔφη. ἐκαλεῖτο δὲ πρότερον Εἰρήνη ἡ Καλαυρία, καθά φησιν Ἀντικλείδης.

κανηφόροι· Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος περὶ τῶν κανηφόρων. Φιλόχορος ἐν β΄ Ἀτθίδος φησὶν ὡς Ἐριχθονίου βασιλεύοντος πρῶτον κατέστησαν αἱ ἐν ἀξιώματι παρθένοι φέρειν τὰ κανᾶ τῇ θεῷ, ἐφ' οἷς ἐπέκειτο τὰ πρὸς τὴν θυσίαν, τοῖς τε Παναθηναίοις καὶ ταῖς ἄλλαις πομπαῖς.

Καρκίνος. Λυσίας ἐν τῇ περὶ τοῦ κυνὸς ἀπολογίᾳ, εἰ γνήσιος,

1. μόνους Valesius, νόμους ABC. ἀποδημεῖν om C. 2. ἀριστοτέλους C. 3. § 8. ἁρμόττειν A, ἀρέσκει C. 4. αὐτὸ om BC. 6. ἦν C. οἱ om D. 7. an αὐτόν? 8. § 56. τῷ εὐεργέτου ABC. § 1 extr. 10. § 32. 11. ἐστι] ἐπὶ C. τοῖς BC. τε om BCN. καὶ κατὰ ABC. τῶν γεγαμηκότων] cf. Meier. et Schömann. proc. Att. p. 290. 12. τῶν ante π. om BC. 13. § 103. 14. περὶ — 15. τῷ κλήρου om C. 14. φίλου B. καὶ – κλήρου om B. 15. τοῦ om C. 19. καλαυρία D: vulgo καλαύρεια. τῷ B. καθόδου εἰ γνήσιος ἐπιστολῇ B.

p. 637 23. 23. καναφόροι A, καν(η)αφόροι D, κανοφόροι BC, κανοφόρος N. 24. κανοφόρων B. 25. post βασιλεύοντος litteris 18 locum B. αἱ] καὶ A, om D. 26. οἷς] ᾧ BCD, ὧ A. τὰ om BC.

"ἐλυμαίνοντο γάρ μου τὸν καρκίνον εἰσφοιτῶσαι αἱ κύνες." ϗ ὅταν ὁ σῖτος ῥιζωθῇ κατὰ τῆς γῆς, κεκαρκινῶσθαί φασι· Φερεκράτης Αὐτομόλοις "ὁπόταν σχολάζῃς, νεῖψον, ἵνα τὰ λήϊα συγκαρκινωθῇ." λέγεται καρκίνος ϗ πάθος τι συμβαῖνον ἐν τοῖς σώμασιν, ὃ νῦν καρκίνωμα καλοῦσιν. ἔστι δὲ ϗ κύριον ὄνομα, οὗ μνημονεύει Ἰσοκράτης Τραπεζιτικῷ· εἴη δ' ἂν οὗτος ὁ Ἀθηναίων στρατηγὸς ὁ πεμφθεὶς περιπλεῦσαι Πελοπόννησον. περὶ δὲ τοῦ τῆς τραγῳδίας ποιητοῦ τοῦ Ξενοκλέους υἱοῦ Λυσίας ἐν τῷ πρὸς Μνησίμαχόν φησι "συντίθεται δὲ τούτοις ϗ Καρκίνος ὁ ποιητὴς εἰπὼν 'οὐ κεῖνος ἐξέστησε· τὰς γοῦν ἐμφύτους ὀρθῶς παγείσας μὲν φρένας οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν.'"

καρποῦ δίκη. Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς, εἰ γνήσιος, "εἰ γάρ τι ἐγκαλεῖς τῷδε τῷ μειρακίῳ ϗ τῶν σῶν τι ἔχει, δίκασαι αὐτῷ κατὰ τοὺς νόμους, εἰ μὲν χωρίου ἀμφισβητεῖς, καρποῦ, εἰ δὲ οἰκίας, ἐνοικίου, ὥσπερ οὗτος σοὶ νῦν ἐπιτροπῆς δικάζεται."

Καρύανδα· Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου. ἔστι δὲ πόλις τῆς Καρίας.

καταβολή. Δημοσθένης ἐν θ' Φιλιππικῷ "ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ." ἐν ταῖς περιοδικαῖς νόσοις λέγεταί τις καταβολὴ διὰ τὸ ἐν ἀποδεδειγμένῳ προϊέναι χρόνῳ, καθάπερ οἱ ἐρανισταὶ τὰς καταβολὰς ποιοῦνται τῶν χρημάτων.

καταδεδέσθαι ἀντὶ τοῦ πεφαρμακεῦσθαι καὶ δεδέσθαι φαρμάκοις Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ.

κατὰ δήμους δικαστάς· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. περὶ τῶν κατὰ δήμους δικαστῶν, ὡς πρότερον μὲν ἦσαν λ' ϗ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο μ', εἴρηκεν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

1. τὴν A. αἱ κύνες] γυναῖκες BCG. καὶ om ABCN. 2. φησιν D. 3. σχολάζῃ ABC. νίψον irriga Valesius, νῆψον codices. 4. σοι καρκινωθῇ A. ἐν om A. 5. ἔστι καὶ ὄνομα κύριον B. 6. § 52. ἀθηναῖος BC. 8. τοῦ ante τῆς om BC. ξενοκλέους B. 9. πρὸς] περὶ A. 10. νοῦ κεῖνος Valesius. rectius fortasse οὐκ οἶνος. 11. μὲν om AB. καιρὸν BC. 12. εἰ γνήσιος om ABC. 13. ἐγκαλεῖ B. 15. οἰκίας] ἐνοικίας BC. σου C. νῦν ἐπιδικάζεται D.

19. ε^ω C. ἡ AB. 20. τοῖς περιοδικοῖς C. 21. προσιέναι Toup. p. 405, παριέναι N, λέναι B, ἱέναι C. 23. τοῦ καταδεδέσθαι φαρμάκοις πεφαρμακεῦσθαι BC. 25. § 112. 27. ἐγίνοντο A. 28. Ἀθηναίων add Meierus et Schoemannus proc. Att. p. 79.

καταδικασάμενος ἀντὶ τȣ̃ νικήσας ϗ καταδικασθῆναί τινα ποιήσας Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέȣς ὕβρεως.

κατάγειν τὰ πλοῖα· Δημοσθένης ἐν ή Φιλιππικῶν. κατάγειν τὰ πλοῖα λέγεται ἀντὶ τȣ̃ βιάζεσθαι ϗ κακȣ̃ν, ϗ μὴ ἐᾶν τȣ̀ς πλέοντας ὅποι βȣ́λονται πλεῖν, ἀλλ' εἰς τὰ οἰκεῖα χωρία τοῖς λῃστεύȣσι κατάγειν, ὡς ϗ Λυκȣ̃ργος ἐν τῷ κατὰ Λεωκράτȣς δηλοῖ.

κατάστασις. Λυσίας "ψηφίσασθαι δὲ τȣ̀ς φυλάρχȣς ἀπενεγκεῖν τȣ̀ς ἱππεύσαντας, ἵνα τὰς καταστάσεις ἀναπράξητε παρ' αὐτῶν." ἔοικεν ἀργύριον εἶναι ὅπερ οἱ κατασταθέντες ἱππεῖς ἐλάμβανον ἐκ τȣ̃ δημοσίȣ ἐπὶ τῇ καταστάσει, ὥσπερ αὐτὸς ὁ ῥήτωρ ἐν τοῖς ἑξῆς ὑποσημαίνει. παρεμφαίνει τȣ̃το ϗ Εὔπολις Φίλοις· "ȣ̓κ ἐσωφρόνησας, ὦ πρεσβῦτα, τὴν κατάστασιν τήνδε λαμβάνων ἄφνω πρὶν ϗ μαθεῖν τὴν ἱππικήν." ἔτι δὲ σαφέστερον λέγεται ἐν τῷ Σύρφακι Πλάτωνος. ἀπεδίδοτο δὲ τὸ ἀργύριον ὑπὸ τῶν ἱππευσάντων, ὅτε ἀντ' αὐτῶν ἕτεροι καθίσταντο· ἀπῄτȣν δὲ αὐτὸ οἱ φύλαρχοι.

κατὰ τὴν ἀγορὰν ἀψευδεῖν. Ὑπερίδης ἐν τῷ κατ' Ἀθηνογένȣς α' "ὁ μὲν τοίνυν νόμος κελεύει ἀψευδεῖν ἐν τῇ ἀγορᾷ." ἔοικεν ὁ νόμος περὶ τῶν ὠνίων κεῖσθαι· Θεόφραστος γȣ̃ν ἐν τοῖς περὶ νόμων φησὶ δυοῖν τȣ́των ἐπιμελεῖσθαι δεῖν τοὺς ἀγορανόμȣς, τῆς τε ἐν τῇ ἀγορᾷ εὐκοσμίας ϗ τȣ̃ ἀψευδεῖν μὴ μόνον τȣ̀ς πιπράσκοντας ἀλλὰ ϗ τȣ̀ς ὠνȣμένȣς.

κατατομή. Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένȣς "ϗ καθήμενος κάτω ὑπὸ τῇ κατατομῇ." Φιλόχορος δὲ ἐν ς' οὕτως "Αἰσχραῖος Ἀναγυράσιος ἀνέθηκε τὸν ὑπὲρ τȣ̃ θεάτρȣ τρίποδα καταργυρώσας, νενικηκὼς τῷ πρότερον ἔτει χορηγῶν παισί, ϗ ἐπέγραψεν ἐπὶ τὴν κατατομὴν τῆς πέτρας."

καταπλὴξ ὁ συνεχῶς πεπληγμένος· Λυσίας ἐν τῷ πρὸς Αἰ-

3. φιλιππικῶ C. de pace 25. κατάγων B. 5. ὅποι DN, ὅπȣ ABC. βȣ́λωνται A, βȣ́λοιντο D. οἰκεῖα om BCG. 6. § 18. 8. pro Mantitheo 6. φιλάρχȣς A. ἐπενεγκεῖν ABC. 9. ἀναπράξηται ABC. 13. φίλοις om C. 14. ἱκετὴν A, ἀττικὴν B, ἀττικὴν ἱππικήν C. 15. σύρακι C. τὸ om AD. 16. ὅτε D: vulgo ὅταν. 17. φίλαρχοι A. 19. ἐν τῇ ἀγορᾷ om BC. 20. ἔοικε δ' N. αἰωνίων BC. 21. τοῖς] τῇ BC. δυεῖν ADN. 22. τε om BC. 24. cf. Boeckh. ad Inscript. 224. 25. κάτω om BC. ὑπὸ] ἐν D. καταναμῇ φιλόχωρος C. 26. ἐναγυράσιος C. 27. καταγυρώσας B, καταγυράσας C. τὸ πρότερον ἔτι ABCN: correxit Valesius. 28. ἔπεμψεν N. ἐν τῇ κατατομῇ D.

χίνην τὸν Σωκρατικόν, ἐν τῷ κατ' Ἀνδοκίδου ἀσεβείας, εἰ γνήσιος ὁ λόγος. Θεόπομπος Τισαμενῷ "ἀλλ' ἡ μὲν Εἰλείθυια συγγνώμην ἔχει ὑπὸ τῶν γυναικῶν οὖσα καταπλὴξ τὴν τέχνην."

καταχύσματα· Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου α'. ὅτι τῶν νεωνήτων οἱ δεσπόται τραγήματα κατέχεον, Ἀριστοφάνης Πλούτῳ δηλοῖ· ὅτι δὲ καὶ τῶν ἀπὸ θεωρίας καὶ τῶν νυμφίων, ὡς Θεόπομπος Ἡδυχάρει.

καταχειροτονία. ἔθος ἦν Ἀθήνησι κατὰ τῶν ἀρχόντων καὶ κατὰ τῶν συκοφαντῶν προβολὰς ἐν τῷ δήμῳ τίθεσθαι· εἰ δέ τινος καταχειροτονηθείη, οὗτος εἰσήγετο εἰς τὸ δικαστήριον. ἔστι δὲ πολλάκις τοὔνομα παρά τε Δημοσθένει ἐν τῷ κατὰ Μειδίου καὶ Ὑπερίδῃ ἐν τῷ ὑπὲρ Χαιρεφίλου περὶ τοῦ ταρίχους. διεξῆλθε δὲ περὶ τῆς καταχειροτονίας καὶ Θεόφραστος ἐν δ' Νόμων.

καταψευδομαρτυρησάμενος ἀντὶ τοῦ παρασχὼν τοὺς τὰ ψευδῆ μαρτυρήσοντας Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

κατέλευσαν λίθοις κατέβαλον· Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους.

κατῳκοδόμησεν ἀντὶ τοῦ κατέκλεισεν εἰς οἴκημα καὶ ἀπέκτεινεν Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους πολλάκις.

Κέβρηνα· Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. πόλις ἐστὶ τῆς Τρῳάδος Κέβρην, Κυμαίων ἄποικία, ὥς φησιν Ἔφορος ἐν α'.

κεγχρεών. Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ "κἄπειτ' ἔπεισε τοὺς οἰκέτας τοὺς ἐμοὺς καθέζεσθαι εἰς τὸν κεγχρεῶνα" ἀντὶ τοῦ εἰς τὸ καθαριστήριον, ὅπου τὴν ἐκ τῶν μετάλλων κέγχρον διέψυχον, ὡς ὑποσημαίνει Θεόφραστος ἐν τῷ περὶ μετάλλων.

Κεῖοι. Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν "οἱ Κεῖοι μὲν πόλις τοσαύτη." Κέως μία τῶν Κυκλάδων νήσων, παρακει-

1. τὸ ναυκρατιτικόν A. § 50. 2. ἡ] εἰ BC. εἰλήθεια B, ἀλήθεια AN. 4. § 74. 6. ὅτι] ἔτι N. θερείας N, καθιερίας C, καθιερείας B. 7. ὡς] ὡς καὶ A. ἡδυχάριτα A, ἡσυχάρει BC.
9. κατὰ om C. γίνεσθαι D. 10. τινας A, τινα BC. καταχειροτονηθῇ A. οὕτως N. 11. velut § 6. 12. ὑπερίδης A, ὑπερίδει C. χαιροφίλου C. 13. τῶν νόμων AC. 15. μαρτυρήσαντας B. κατὰ] περὶ BC. 1 1. 16. κατέβαλον λίθοις C, κατέβαλλον λίθοις A. 18. καὶ om BC. 20 — 21. om C. 20. § 154.
21. τῆς om D. ἄποικος D. 22. κεγχρὼν C, κεγχρῶν B. § 27. γραφῇ ABCD. 23. ἐποίησε C. τοὺς ἐμοὺς οἰκέτας N. κεγχρῶνα BC. 24. κιθαριστήριον A, καθιστήριον N. cf. Boeckh. de met. Laur. p. 107.
25. τῇ B. 27. Κεῖοι οἱ ἀπὸ κέω. λυσίας· κέως μὲν N. ἰδίων] οἰκείων B.

μένη τῇ Ἀττικῇ. τὴν νῆσον δὲ πόλιν ὠνόμασεν ὁ ῥήτωρ. καὶ Εὐριπίδης τὴν Εὔβοιαν· "Εὔβοι' Ἀθήναις ἐστί τις γείτων πόλις." Ἀριστοφάνης δὲ περὶ Σικελίας φησὶν "οἷα πόλις τάλαινα διαλυμαίνεται."

Κειριάδης· Ἰσαῖος ἐν τῇ πρὸς Βοιωτὸν ἐκ δημοτῶν ἐφέσει. ὅτι Κειριάδαι δῆμός ἐστι τῆς Ἱπποθοωντίδος, εἴρηκε Διόδωρος ἐν τῷ περὶ τῶν δήμων.

Κεκροπίς· Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονα. μία δ' ἦν τῶν ι' φυλῶν Ἀθήνησι Κεκροπίς, ὡς Δημοσθένης ἐν τῷ ἐπιταφίῳ, εἰ γνήσιος.

κελέοντες. Ἀντιφῶν ἐν τῇ πρὸς Δημοσθένους γραφὴν ἀπολογίᾳ "ἵνα τοὺς κελέοντας κατέπηξεν." κυρίως μὲν κελέοντές εἰσιν οἱ ἱστόποδες, ὡς καὶ παρ' Ἀριστοφάνει δῆλον τῷ κωμικῷ· μεταφορικῶς δὲ νῦν ὁ ῥήτωρ λέγοι ἂν τὰ ὀρθὰ ξύλα.

κεραμεῖς· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου α'. δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος Κεραμεῖς, ὥς φησι Διόδωρος. φησὶ δὲ Φιλόχορος ἐν γ' εἰληφέναι τούτους τοὔνομα ἀπὸ τῆς κεραμικῆς τέχνης καὶ τοῦ θύειν Κεράμῳ τινὶ ἥρωϊ.

Κεραμεικός· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων. ὅτι β' εἰσὶ Κεραμεικοί, ὥς καὶ ὁ ῥήτωρ φησίν, ὁ μὲν ἔνδον τῆς πόλεως ὁ δὲ ἕτερος ἔξω, ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ καὶ τοὺς ἐπιταφίους ἔλεγον, δηλοῖ Καλλίστρατος ἢ Μενεκλῆς ἐν τῷ περὶ Ἀθηνῶν.

Κερκίδας. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος τοὺς προδότας καταλέγων φησὶν "Ἀρκάδας Κερκίδας." ὅτι δ' οὗτος τῶν τὰ Μακεδονικὰ φρονούντων ἦν, εἴρηκε καὶ Θεόπομπος ἐν ιε' Φιλιππικῶν.

κέρκουρος εἶδός τι νεώς· Δείναρχος Τυρρηνικῷ.

Κέρκωψ· Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ἐν τοῖς εἰς Ὁμη-

2. ἀθηναίοις B. 3. Pac. 251. 5 — 7. om C. 5. βοιωτῶν B. 9. ὡς ὁ δημ. B. § 30. 13. ἱστόποδες schol. Theocrit.: ἰνόποδες A, ἰνοπώλιδες B, οἰνοπόλιδες C, οἰνοπόλ^αι^ιδες N. καὶ om BC. 15. ξενοφῶντος λα^ω^ BC. 17. φιλόχωρος C. τῆς om BC. κεραμεικῆς C. 18. κεραμοῦ B. 19 — 23. om C. 20. τῇ πόλει A, ἐν τῇ πόλει BC. 21. ἔξω D, ἔξω τῆς πόλεως ABC. 22. τοὺς om D. καλλικράτης AB. 23. τῇ B. 24. § 295. 25. δ' οὗτος] δῆλος BC. 26. ἐν ε̄ B, ἐν ε^η^ C, ἐν τῷ ιε' A. 28. τυραννικῷ ABC. 29. § 40.

ρον ἀναφερομένοις Κέρκωψιν δηλοῦν ὡς ἐξαπατητῆρές τε ἦσαν καὶ ψεῦσαι οἱ Κέρκωπες· Ξεναγόρας δὲ εἰς πιθήκους αὐτοὺς μεταβαλεῖν φησί, καὶ τὰς Πιθηκούσσας νήσους ἀπ᾽ αὐτῶν κληθῆναι. Αἰσχίνης δὲ ὁ Σαρδιανὸς ἐν τοῖς ἰάμβοις καὶ τὰ ὀνόματα αὐτῶν ἀναγράφει, Ἄνδουλον καὶ Ἄτλαντον.

Κεινέας· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὡμολόγηται καὶ παρὰ τοῖς ἱστορικοῖς ὅτι Κεινέας εἷς ἦν τῶν προϊεμένων Φιλίππῳ τὰ Θετταλῶν πράγματα, καὶ μάλιστα Θεοπόμπῳ ἐν α', ἅμα καὶ διεξερχομένῳ τὰ περὶ τὸν ἄνδρα.

Κερσοβλέπτης. πολλάκις τούτου μνημονεύουσιν οἱ ῥήτορες, ὥσπερ καὶ Δημοσθένης κατ᾽ Ἀριστοκράτους. ἦν δὲ παῖς Κότυος, καὶ νεώτατος ὢν βασιλεὺς κατεστάθη ὑπὸ τοῦ πατρὸς Θρᾴκης. ὅτι δὲ καὶ περὶ Χερρονήσου ποτὲ ἐπολέμησεν Ἀθηναίοις, δηλοῖ καὶ Ἰσοκράτης ἐν τῷ περὶ εἰρήνης.

κεστρῖνοι· Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους. κεστρῖνος ἰχθύς. ἐπισκεπτέον δὲ εἰ διαφέρει τι κεστρέως.

Κέφαλος ὄνομα κύριον, δημαγωγός.

Κεφαλῆθεν· Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα ἐπιτροπῆς. Κεφαλὴ δῆμος τῆς Ἀκαμαντίδος, ἀφ᾽ ἧς ὁ δημότης λέγεται Κεφαλῆθεν, καθά φησι Διόδωρος.

Κηδωνίδης. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου "ὑπερβαίνων τουσδὶ τοὺς ἀγρίους Κηδωνίδην." παιδερασταί τινες ἦσαν οὗτοι σφοδροί.

κηκίς βάμμα τι καὶ στύμμα, ἢ καρπός τις δρυὸς ἐπιτήδειος εἰς βαφήν· Δημοσθένης ἐν τῷ κατ᾽ Ἀφόβου α'.

Κῆπος· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. πόλις δ᾽ ἐστὶ κατὰ Βόσπορον καλουμένη Κῆπος.

κηρυκεία ὁ διδόμενος μισθὸς τοῖς κήρυξιν ἐπὶ ταῖς γινομέναις πράσεσιν· Ἰσαῖος ἐν τῷ κατ᾽ Ἐλπαγόρου καὶ Δημοφάνους.

1. κέκροψι B. 2. εἰς Photius, om C: vulgo ἐς. 3. τὰς πιθηκίνους AB, τὰς πυθικήνους C, τὰς πηθικίνους D. ἐπ᾽ B, ὑπ᾽ C. 4. Αἰσχρίων cum Maussaco Lobeckius de Cercopibus et Cobalis P. 1. τὰ om B. 5. αὔδουλον A. Κάνδουλος καὶ Ἄτλας Suidas. 6. κινέας D. § 295. 7. τις ἦν C, ἦν εἷς A. 9. διερχομένω C. 11. § 8. 14. § 22. 15. κεστρίναι A, κενστρόναι BC. τοῦ om BC. κενστρῖνος BC. εἶδος ἰχθύος D. 16. δὲ om N. 17. κύριον] ὁ AB, om G. 18. ἐπιστολῆς B. ἐπιτροπῆς : – C. 19. τῆς om D. 21. κηδωνίδης. οὗτος τεθρυλημένος ἦν ἐπὶ παιδεραστίᾳ ἀνυπερβλήτῳ D. § 52. 22. κηδωνίδης A, κηδωνίδας CN. 23. κίκι N. τις] τῆς BC. 24. § 10. 25 — 26. om C. 25 et 26. Κῆποι Valesius 25. ἐν τῷ om A. § 171. ἐστὶ βοσπόρου B. 27. ταῖς διὰ πράξεσιν N. 28. καὶ δημοφάνης AB, om C.

Κήρυκες· Ἰσοκράτης Πανηγυρικῷ. γένος ἐςὶν ἐν Ἀθήναις ἕτως ὀνομαζόμενον, κέκληϑ δὲ ἀπὸ Κήρυκος τῦ Ἑρμῦ.

Κηττοί· Λυσίας ἐν τῷ κατὰ Νικίε ἀργίας. δῆμός ἐςι τῆς Λεοντίδος, ὡς Διόδωρος ὁ περιηγητής φησιν.

Κηφισιεύς· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρε ϗ Δημοφάνες. δῆμός ἐςι τῆς Ἐρεχϑηΐδος φυλῆς, ὡς αὐτός φησιν.

Κηφισόδωρος· Λυκῦργος ἐν τῷ κατὰ Μενεσαίχμε. κεκωμῴδηϑ δὲ ἕτος ὡς νωϑής. ἕτερος δ' ἂν εἴη Κηφισόδωρος ὃς ἵππαρχος ὢν ἐν Μαντινείᾳ μετὰ Γρύλλε τῦ Ξενοφῶντος ἀπέϑανεν, ὃ μνημονεύει Δείναρχος ἐν τῷ κατὰ Καλλαίχρε.

Κηφισόδοτος· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ἀνδροτίων ἐν ε' Ἀτϑίδος ἱςορεῖ ὡς Ἀλωπεκόννησον πολιορκῶν ἀπεχειροτονήϑη ϗ κριϑεὶς ἑάλω ϗ ἀπέτισε ε' τάλαντα.

κιγκλίς· Δημοσϑένης ἐν τῷ κατ' Ἀριςογείτονος. αἱ τῶν δικαςηρίων ϑύραι κιγκλίδες ἐκαλῦντο· Ἀριςοφάνης Δαιταλεῦσιν "ὁ δ' ἡλιαςὴς εἷρπε πρὸς τὴν κιγκλίδα."

κίναδος ἀντὶ τῦ ϑηρίον Δημοσϑένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· ἔςι δὲ ϗ ἐν τῇ κωμῳδίᾳ, ὡς ϗ παρ' Ἀριςοφάνει. ἰδίως δέ φασι Σικελιώτας τὴν ἀλώπεκα καλεῖν κινάδιον.

Κινησίας. Λυσίε β' λόγοι εἰσὶ πρὸς Κινησίαν, ἐν οἷς πολλάκις μνημονεύει τἀνδρός, λέγων ὡς ἀσεβέςατος εἴη ϗ παρανομώτατος, ϗ ὅτι ϗ οἱ κωμῳδοδιδάσκαλοι καϑ' ἕκαςον ἐνιαυτὸν γράφεσιν εἰς αὐτόν. εἴη δ' ἂν ἕτος ὁ διϑυραμβοποιός, ὃ μέμνηνϑ πολλάκις οἱ κωμικοὶ ϗ Στράττις ὅλον δρᾶμα ποιήσας εἰς αὐτόν, ὅπερ ἐπεγράφη Κινησίας, ἐν ᾧ ϗ τὴν ἀσέβειαν αὐτῦ κωμῳδεῖ.

Κιρραῖον πεδίον· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Κίρρα πόλις ἐςὶν ἀπέχεσα Δελφῶν ςαδίες λ'. ἔοικεν ὖν Κιρραῖον πεδίον καλεῖν ὁ ῥήτωρ τὸ ταύτῃ παρακείμενον τῇ πόλει.

1. ἰσαῖος A. § 157. 3. κηπτοὶ B, κηπτὸς C. νικίδυ A. 5 — 6. om C. 6. ὡς ὁ αὐτός? 8. ὀνώδης D. 9. ὕπαρχος C. 10. τῷ καλαισχρῦ B. 11. § 51. 12. ἀλωπεκόνησον BC. 14. 1 23. 16. ὁ δηλιαςὴς A. εἷρπε πρὸς] εἷς περὶ BCG. 17. § 162. 18. δὲ om A. ἰδίως δέ φασι om ABC. 20. κινησίας ὄνομα κύριον. ὖτος ἐπ ἀσεβεία καὶ παρανομία διεϑρυλεῖτο, ἦν δὲ διϑυραμβο.τοιός :– D. διϑυραμβοποιὸς ἀσεβέςατος καὶ παρανομώτατος, καϑ' ὖ ςράττις ὅλον δρᾶμα πεποίηκε τὴν ἀσέβειαν τἀνδρὸς κωμῳδῶν :– N. 22. ὅτι οἱ κωμωδοὶ διδάσκαλοι BC. 23. γράφεσι ante καϑ' B, post αὐτόν A. εἰς αὐτόν om BC. 24. ςράτις A, ςράτης BC. 25. ἐπιγράφει A. 27. Αἰσχίνης om B. § 107. 29. πεδίον om pr B.

Κιθήνη· Ἰσοκράτης Πανηγυρικῷ. ὄρος τῆς Θρᾴκης. Κρατῖνος "κἀνθένδ' ἐπὶ τέρματα γῆς ἥξεις ϗ Κιθήνης ὄρος ὄψει."

κιττοφόρος. ἔνιοι μετὰ τοῦ σ̄ γράφουσι κισσοφόρος· τὰς γὰρ λεγομένας κίσσας ἱερὰς εἶναι ἔλεγον τοῦ Διονύσου ϗ ταῖν θεαῖν.

κλιμάζῃ. Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ ʽσυνηγορία Αἰσχίνῃ κατὰ Δεινίου' "ὅταν οὖν ἀπολογούμενος κλιμάζῃ ϗ παράγῃ τοὺς νόμους" ἀντὶ τοῦ παρακλίνῃ ϗ παρατρέπῃ. μήποτε δὲ δεῖ γράφειν βλιμάζῃ, ἵν' ᾖ οἷον θλίβῃ ϗ βιάζηται.

κληροῦχοι· Δημοσθένης ἐν ή Φιλιππικῶν. κληροῦχοι ἐκαλοῦντο οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις ἃς ἐλάμβανον, κλήρους ἑκάστοις διανέμοντες. Ἰσοκράτης Πανηγυρικῷ "ὑπὲρ ὧν προσήκει τοὺς εὖ φρονοῦντας μεγάλην χάριν ἔχειν πολὺ μᾶλλον ἢ τὰς κληρουχίας ἡμῖν ὀνειδίζειν, ἃς ἡμεῖς εἰς τὰς ἐρημουμένας τῶν πόλεων φυλακῆς ἕνεκα τῶν χωρίων ἀλλ' οὐ διὰ πλεονεξίαν ἐξεπέμπομεν." ἐν δὲ τῷ περὶ τῶν συμμοριῶν Δημοσθένης κληρουχικὰ ἂν λέγοι τὰ τῶν ἐκπεμφθέντων εἰς ἑτέραν χώραν ἡντιναδήποτε κατὰ κληρουχίαν· πῶς γὰρ οἷόν τε τὸν μὴ ἐπιδημοῦντα Ἀθήνησι τριηραρχεῖν;

κλῆσις ἡ πρόσκλησις, τουτέστι παραγγελία εἰς κρίσιν· Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. ὅτι μέντοι ϗ προσκλήσεις ἔλεγον, ὁ αὐτὸς ἐν τῷ περὶ ʽΑγνίου κλήρου δηλοῖ.

κλητῆρες ϗ κλητεύειν. κλητῆρες μὲν οἱ ἄνδρες δι' ὧν εἰς τὰς δίκας προσκαλοῦνται οἱ δικαζόμενοί τισιν· ἔδει γὰρ παρεῖναί τινας ὥσπερ μάρτυρας τῆς προσκλήσεως· Ἰσαῖος ἐν τῷ πρὸς Νεοκλέα περὶ χωρίου. πολὺ δ' ἐστὶν ὅλως τοὔνομα παρά τε τοῖς ῥήτορσι ϗ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. κλητεῦσαι δ' ἐστὶ τὸ κλητῆρα γενέσθαι, ὡς Ἰσαῖος ἐν τῷ κατὰ Κλεομέδοντος. λέγεται δὲ κλητεύεσθαι ϗ ἐκκλητεύεσθαι ἐπὶ τῶν μαρτύρων, ὅταν μὴ

1. § 153. 2. ἐπὶ τὰ τ. B. κισθήνην A. 3. κιττοφόρον C. post κιττοφόρος lacunam A. μετὰ τοῦ σ̄ add D. κισσοφόρος DO, κισσοφόρον ABC, κισθοφόρον G. 4. εἶναι] ἐν αἷς BCG. τῶν θεῶν B.

5. κλιματίζει B, κλιμάζει AC. αἰσχίν C: vulgo Αἰσχίνης. dativum reposuit Valesius. 6. δεινίου C: vulgo δινίου. 7. δέῃ N. 8. βλιμάζειν BCN, βλιμάζει A. θλίβῃ καὶ βιάζηται N: ceteri indicative. 9. ἐν φιλιππικοῖς A, ἐν ή φιλιππικῷ BC. de Chers. 6. 11. ἕκαστοι διανέμοντας BC. § 107. 13. εἰς om BC. 15. § 16. 19. πρόσκλησις Maussacus: codices πρόκλησις. 20. § 63. 21. δηλοῖ] φησὶ δῆλον B, φησι C. 22. μὲν om BC. 23. προκαλοῦνται et 24. προκλήσεως ABCD. 23. διαδικαζόμενοί AB. τισιν] εἰσιν BC. 25. περί C. 27. ὡς om C. 28. καὶ ἐκκλητεύεσθαι om C.

ὑπακούωσι πρὸς τὴν μαρτυρίαν ἐν τοῖς δικαστηρίοις, καὶ ἔστιν ἐπιτίμιον κατ' αὐτῶν δραχμαὶ χίλιαι, ὡς Ἰσαῖος ἐν τῷ ὑπὲρ Πύθωνος ἀποστασίου.

κοβαλεία· Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ. κοβαλεία ἐλέγετο ἡ προσποιητὴ μετ' ἀπάτης παιδιά, καὶ κόβαλος ὁ ταύτῃ χρώμενος. ἔοικε δὲ συνώνυμον τῷ βωμολόχῳ· Φιλόχορος β' Ἀτθίδος "οὐ γὰρ ὥσπερ ἔνιοι λέγουσι, βωμολόχον τινὰ καὶ κόβαλον γίνεσθαι νομιστέον τὸν Διόνυσον." Ἀριστοτέλης δὲ ἐν η' ζῴων ἱστορίας τὸν ὦτόν φησι κόβαλον καὶ μιμητὴν ὄντα ἀντορχούμενον ἁλίσκεσθαι.

κόβαλοι δαίμονές εἰσί τινες σκληροὶ περὶ τὸν Διόνυσον.

κοινὸν γραμματεῖον καὶ ληξιαρχικόν. τὸ μὲν κοινὸν γραμματεῖόν ἐστιν εἰς ὃ ἐνεγράφοντο οἱ εἰσαγόμενοι εἰς τοὺς φράτορας καὶ γεννήτας, τὸ δὲ ληξιαρχικὸν εἰς ὃ ἐνεγράφοντο οἱ εἰς τοὺς δήμους ἐγγραφόμενοι, ὡς δεικνύουσιν ἄλλοι τε ῥήτορες καὶ Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀπολλοδώρου κλήρου.

κοινωνικῶν· Δημοσθένης ἐν τῷ περὶ τῶν συμμοριῶν. κοινωνικοὺς ἂν λέγοι τάχα μὲν τοὺς ἀνέμητον οὐσίαν ἔχοντας ἀδελφούς, ὧν ὁ μὲν πατὴρ ἐδύνατο λειτουργεῖν, οἱ δὲ κληρονόμοι τῶν ἐκείνου καθ' ἕνα τριηραρχεῖν οὐκ ἐξήρκουν· τάχα δὲ καὶ περὶ τῶν ἑκούσιον κοινωνίαν συνθεμένων ἐμπορίας ἤ τινος ἄλλου, ὧν ἕκαστος οὐκ εἶχε τὸ ὅλον τίμημα τῆς κοινῆς οὐσίας.

Κοιρωνίδαι. ἔστι Λυκούργῳ λόγος οὕτως ἐπιγραφόμενος 'Κροκωνιδῶν διαδικασία πρὸς Κοιρωνίδας,' ὃν ἔνιοι Φιλίνου νομίζουσιν· ἔστι δὲ γένος οἱ Κοιρωνίδαι, περὶ ὧν Ἴστρος ἐν τῇ συναγωγῇ τῆς Ἀτθίδος φησίν. ὠνομασμένον δ' ἂν εἴη ἀπὸ Κοίρωνος, ὃν νόθον ἀδελφὸν εἶναί φασι τοῦ Κρόκωνος, παρ' ὃ καὶ ἐντιμοτέρους εἶναι τοὺς Κροκωνίδας. ὁ δὲ τὸν λόγον γεγραφὼς

1. ὑπακούσωσι D. 4. κοβαλεία ante ἐλ. om C. 5. προσποίητος D, ut volebat Valesius. κατὰ C. 6. ἔοικε δὲ om BC. Φιλόχορος — 8. Διόνυσον] haec post v. 11 ponit Lobeckius de Cercop. et Cobalis.

7. δευτέρῳ AB. 8. p. 597 b 23. δὲ om BC. η'] ζ AB, ζω C, ἑβδόμῳ D. 11. post p 115 6 AB. 12. τὸ — 13. εἰσαγόμενοι om C. μὲν] μέντοι B. 14. γεννητὰς ABN. 16. λυσίας pr B. περὶ τοῦ om C. § 27. κλήρῳ ABC. 17. § 16. 20. δὲ] δ' ἂν BCN. περὶ τῶν] τὴν C. 23. κορωνίδαι B, κυρωνίδαι D. οὕτος A. 24. φιλοίνου C. 26. ὠνομασμένοι δ' ἂν εἶεν A. 27. φασιν εἶναι τοῦ κρόκονος B.

ὅστις ποτ' ἐστίν, τρισὶν ὀνόμασί φησιν αὐτοὺς προσηγορεῦσθαι· καὶ γὰρ Κοιρωνίδας καὶ Φιλιεῖς καὶ Περιθοίδας.

Κολλυτεύς· Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. δῆμός ἐστι τῆς Αἰγηΐδος Κολλυτός.

Κολωναίτας· Ὑπερίδης ἐν τῷ πρὸς Ἀπελλαῖον περὶ τοῦ θησαυροῦ. τοὺς μισθωτοὺς Κολωναίτας ὠνόμαζον, ἐπειδὴ παρὰ τῷ Κολωνῷ εἱστήκεσαν, ὅς ἐστι πλησίον τῆς ἀγορᾶς, ἔνθα τὸ Ἡφαίστειον καὶ τὸ Εὐρυσάκειόν ἐστιν· ἐκαλεῖτο δὲ ὁ Κολωνὸς οὗτος ἀγοραῖος. ἦν δὲ καὶ ἕτερος Κολωνὸς πρὸς τὸ τοῦ Ποσειδῶνος ἱερόν, ὡς Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους· οὗτος δ' ἂν εἴη ὁ τῶν ἱππέων. Φερεκράτης Πετάλῃ "οὗτος πόθεν ἥκεις; ἐς Κολωνὸν ἱέμην, οὐ τὸν ἀγοραῖον ἀλλὰ τὸν τῶν ἱππέων." Δημοσθένης ἐν τοῖς Κολωνῆθέν φησι. περὶ τῶν Κολωνῶν Διόδωρός τε ὁ περιηγητὴς καὶ Φιλόχορος ἐν γ' Ἀτθίδος διεξῆλθεν.

κομιστικὰ πλοῖα· Ὑπερίδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν τριήρων. ἔοικε καλεῖσθαι κομιστικὰ πλοῖα ἐν οἷς ἐκόμιζον οἱ τύραννοι τὰ ληφθέντα λάφυρα, ὡς αὐτὸς ὁ ῥήτωρ ὑποσημαίνει ἐν τῷ λόγῳ.

κόμματα καὶ κυρήβια· Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τὰ μὲν κυρήβιά εἰσι τὰ πίτυρα, τὰ δὲ κόμματα ἔοικεν εἶναι μέρη τινὰ ἢ τῆς καλάμης ἢ τῶν περὶ τὸν σῖτον αὐτὸν ἐν τῷ στάχυϊ γινομένων ἢ τῶν ἀνθερίκων.

κορδακισμός· Δημοσθένης Φιλιππικοῖς. ὁ κόρδαξ κωμικῆς ὀρχήσεώς ἐστιν εἶδος, καθάπερ φησὶν Ἀριστόξενος ἐν τῷ περὶ τῆς τραγικῆς ὀρχήσεως. ἔστι δὲ τοὔνομα καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ, ὡς παρὰ Νικοφῶντι.

κοροπλάθος· Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. τοὺς ἐκ πηλοῦ ἢ κηροῦ ἢ τινος τοιαύτης ὕλης πλάττοντας κόρας ἢ κόρους οὕτως ὠνόμαζον.

1. τρισὶν ὀνόμασι om C. καὶ γὰρ om CG, γὰρ om B. 2. κροκωνίδας C. 3. κολυττεύς codices. ἐν τῷ om A. § 138. 4. κολυττοί BCG. 5 et 6. κολωναίτας ABCGN, κολωνέτας D. 5. ἀπαλλαῖον C, ἀπαλλαῖον B. 6. ἐκάλουν N. ἐπεὶ μὴ B. περὶ D. τὸ κολῶναι BC. 7. ἡφαίστιον C. 8. τὸ om A. εὐρυσάκιόν C. ἐκαλεῖτο — 9. τοῦ om ABC. 11. πεταλῇ BC. 12. ἱέμην Meinek. Quaest. Men. p. 23: ἢ μὴν codices, ᾠχόμην argum. S. Oed. Colon. οὐ τὸν] αὐτὸν C. 13. τὸν Κολωνῆθεν Mid. 64, Neaer. 22. τῶν om C. 17. ὁ αὐτὸς B. 18. τῷ] τ̄ A, λ ceteri. 19. κατὰ om BC. 20. μὲν om B. 22. ἀθέρων N. 23. Olynth. 2 18. 25. δὲ om A. 27. § 2. 28. ὕλης] ἄλλης A. κόρους A. 29. οὕτως] κοροπλάθους C.

Κορσίαι· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνȣ. πόλις ἐςὶ τῆς Βοιωτίας Κορσίαι, ὡς Θεόπομπος ἐν τῇ λ'.

Κοτύλαιον ὄρος· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. ἔοικε τὸ ὄρος τῆς Εὐβοίας εἶναι· Ἀρχέμαχος γȣ̃ν ἐν γ' Εὐβοϊκῶν φησὶ "Κότυλος μὲν ȣ̃ν φαίνεϑ καταχεῖν τὸ ὄρος τὸ νῦν ἀπ' ἐκείνȣ Κοτύλαιον καλȣ́μενον."

Κότυς· Δημοσθένης ἐν τῷ κατ' Ἀριςοκράτȣς. ȣ̃τος ἦρξε τῆς Θρᾴκης ἔτη κδ', διῆγε δὲ τὰ μὲν πρῶτα ἐν τρυφαῖς ϗ ἡδυπαθείαις, ἔπειτα αὔξησιν λαμβανȣ́σης αὐτῷ τῆς εὐπραγίας εἰς ὠμότητα ϗ ὀργὴν ἐξηνέχθη, ὡς ϗ τὴν γυναῖκα, ἐξ ἧς αὐτῷ ἦν τέκνα, διέκοψε μέσην ταῖς αὐτȣ̃ χερσίν, ἀπὸ τῶν αἰδοίων ἀρξάμενος.

Κραναλλίδαι· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Δίδυμός φησι δεῖν γράφεσθαι Κραυγαλλίδαι· ȣ̃τω γὰρ λέγεσθαι τὴν ἐν Φωκεῦσι πλησίον Κίρρας χώραν Κραυγάλλιον, ὡς ϗ Ξεναγόρας ἐν δ' Χρόνων ἱςορεῖ.

κρᾶςις· Δείναρχος ἐν τῷ πρὸς Λυσικράτην. κρᾶςίς ἐςιν ἡ πόα, ὡς ϗ Ἀριςοφάνης.

Κριθωτήν· Δημοσθένης ἐν τῷ κατ' Ἀριςοκράτȣς. Κριθωτὴ μία πόλις τῶν ἐν Χερρονήσῳ, καθά φησιν Ἑλλάνικος ἐν α' Τρωϊκῶν. Ἔφορος δ' ἐν τῇ δ' φησὶν αὐτὴν κατοικισθῆναι ὑπὸ Ἀθηναίων τῶν μετὰ Μιλτιάδȣ ἐκεῖ παραγενομένων.

Κριωεύς· Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον. δῆμός ἐςι τῆς Ἀντιοχίδος Κριώα, ὥς φησι Διόδωρος ἐν τῷ περὶ τῶν δήμων.

κρώβυλος· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ἡγήσιππος μὲν ἐςιν ὁ Κρώβυλος ἐπικαλȣ́μενος, κυρίως δὲ εἶδός τι ἐμπλοκῆς ἐςὶν ὁ κρώβυλος, καθά φησι Θȣκυδίδης ἐν α'.

κτησίȣ Διός· Ὑπερίδης ἐν τῷ πρὸς Ἀπελλαῖον. κτήσιον Δία

1. § 141. τῆς om C. 2. τῇ om A. 3. § 86. 4. ἀρχέματος B. εὐβοεικῶν plerique. 7. κότασυς B, κότασις C. κότυς βασιλεὺς θρᾴκης ὁ τὴν γαμετὴν διακόψας μέσην N. Δημοσθένης om B, Δημοσθένης — 8. κδ' om C. § 8. 8. ἔτη] ἐν τῇ B. 11. διακόψαι D. ἰδίων C. 13. κραναλλίδαι ἢ κραγαλλίδαι ἡ ἐν φωκεῦσι πλησίον κίρρας χώρα :— D. (εσθαι) κραναλίδαι BCG. § 107. 14. γράφειν A. κραυγαλίδαι BCG. 15. χώρας C. κραυγάλιον CG. 16. τετάρτη C. κωμῶν O. 17. λυσικράτȣς A, λυσιςράτην B. 19. § 158. 20. πρώτω τρωϊκῆς B. 23. § 11. 25. § 118. 26. ὀνομαζόμενος BCG. κυρίως — 27. κρώβυλος om BC. 27. ἐν] ἐν τῇ C. c. 6. 28. ἀπαλαῖον BC. εἰ κτήσιον A.

ἐν τοῖς ταμιείοις ἱδρύοντο· Μένανδρος Ψευδηρακλεῖ "νῦν δ' εἰς γυναικωνῖτιν εἰσιόνθ' ὅταν ἴδω παράσιτον, τὸν δὲ Δία τὸν κτήσιον ἔχοντα τὸ ταμιεῖον ȣ̓ κεκλεισμένον, ἀλλ' εἰςρέχοντα πορνίδια."

Κτησιφῶν. Δημοσθένης ἐν τῷ κατ' Αἰχίνȣ "τὸ μὲν γὰρ ἐξ ἀρχῆς, ἄχρι τȣ̃ λόγȣ τυχεῖν Φίλιππον ὑπὲρ τῆς εἰρήνης, Κτησιφῶν κ̀ Ἀριςόδημος τὴν πρώτην ἔφερον τȣ̃ φενακισμȣ̃." εἷς τῶν ι' πρέσβεων τῶν μετὰ Δημοσθένȣς κ̀ Αἰχίνȣ πρεσβευσάντων ἦν ȣ̓͂τος· ἑκάτερος γȣ̃ν τῶν ῥητόρων ἐν τῷ περὶ τῆς πρεσβείας πολλάκις αὐτȣ̃ μνημονεύει. ἕτερος δ' ἂν εἴη τις ὁ τὸ ψήφισμα τὸ περὶ ςεφάνȣ γεγραφὼς Δημοσθένει, καθ' ȣ̃ λόγος ἐςὶ τῷ Αἰχίνῃ ὁ κατὰ Κτησιφῶντος.

Κυδαθηναιεύς· Ὑπερίδης ἐν τῷ ὑπὲρ τȣ̃ Ἱππέως κλήρȣ. Κυδαθήναιον δῆμός ἐςι φυλῆς τῆς Πανδιονίδος, ἀφ' ȣ̃ ὁ δημότης Κυδαθηναιεύς.

Κυδαντίδης· Ὑπερίδης ἐν τῷ πρὸς Πολύευκτον. δῆμός ἐςι τῆς Αἰγηΐδος Κυδαντίδαι.

Κυθήριος· Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον. Κύθηρον δῆμος τῆς Πανδιονίδος, ἀφ' ȣ̃ ὁ δημότης λέγεται Κυθήριος.

Κύθνιοι· Δημοσθένης ἐν τῷ περὶ συντάξεως. Κύθνος μία τῶν Κυκλάδων νήσων, ὡς Ἀριςοτέλης ἐν τῇ Κυθνίων πολιτείᾳ.

κύκλοι· Δείναρχος ἐν τῷ κατὰ Καλλαίχρȣ. κύκλοι ἐκαλȣ̃ντο οἱ τόποι ἐν οἷς ἐπωλȣ̃ντό τινες· ὠνομάσθησαν δὲ ἀπὸ τȣ̃ κύκλῳ περιεςάναι τȣ̀ς πωλȣμένȣς. Μένανδρος Ἐφεσίῳ "ἐγὼ μὲν ἤδη μοι δοκῶ νὴ τȣ̀ς θεȣ̀ς ἐν τοῖς κύκλοις ἐμαυτὸν ἐκδεδυκότα ὁρᾶν, κύκλῳ τρέχοντα κ̀ πωλȣ́μενον."

κυμβίον· Δημοσθένης ἐν τῷ κατὰ Μειδίȣ. εἶδός τι ἐκπώματος τὸ κυμβίον. φησὶ δὲ Δίδυμος ἐπίμηκες αὐτὸ εἶναι κ̀ ςενὸν κ̀ τῷ χήματι παρόμοιον τῷ πλοίῳ ὃ καλεῖται κυμβίον.

1. ταμιείοις Salmasius: codices ταμείοις vel ταμίοις. ἱδρύοντο DN, ἵδρυντο ABC. 2. ἰδὼν ACG. 3. ταμεῖον BC. 5. διογένης BC. § 94. 8. τῶν ante μετὰ om BC. 9. ἦν] εἷς C. ῥητόρων] τόρων B. τῆς om BC. 11. τὸ] τȣ̃ BC. ȣ̃ καὶ ὁ λ. D. 12. ὁ κατὰ Κτ. om D. 13 — 17. om BC. 14. κυδαθηναίων A. τῆς add A. 18. § 5, ubi est κύθηράδε. κύθηρος BCG. 19. πανδιονίδος B. 20. κύθνειοι C, κύθνιος A. § 34. 21. νῆσος BG. κυθναίων BC, κυθνέων A. 24. προεςάναι B, παρεςάναι G. post μὲν cum N omisi ἂν. 25. ἐνδεδυκότα A. 27. § 133. 28. δὲ om B. αὐτὸ post ςενὸν B.

Κυνίδαι· Λυκοῦργος ἐν τῇ διαδικασίᾳ Κροκωνιδῶν πρὸς Κοιρωνίδας. γένος ἐστὶ παρ' Ἀθηναίοις οἱ Κυνίδαι.

Κυνόσαργες· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων τὸ Κυνόσαργες.

Κυπρόθεμις ὄνομα κύριον. Δημοσθένης ἐν τῷ περὶ τῆς τῶν Ῥοδίων ἐλευθερίας "Σάμον δὲ φρουρουμένην ὑπὸ Κυπροθέμιδος, ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος."

κύπασσις· Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου ϗ Πυθαγόρου, εἰ γνήσιος. οἱ γλωσσογράφοι χιτῶνος εἶδός φασιν αὐτὸν εἶναι τὸν κύπασσιν, οἱ μὲν γυναικείου οἱ δὲ ἀνδρείου. μέμνηται δ' αὐτοῦ Ἱππῶναξ τε ϗ Ἑκαταῖος ἐν περιόδῳ Εὐρώπης, λέγων "Κίσσιοι δὲ ἐσθῆτα φορέουσι κυπάσσεις Περσικούς," ϗ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς.

κύρβεις· Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. κύρβεις φησὶν Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν ἔχειν ἐγγεγραμμένους τοὺς νόμους, εἶναι δ' αὐτοὺς λίθους ὀρθοὺς ἑστῶτας, οὓς ἀπὸ μὲν τῆς στάσεως στήλας, ἀπὸ δὲ τῆς εἰς ὕψος ἀνατάσεως διὰ τὸ κεκορυφῶσθαι κύρβεις ἐκάλουν, ὥσπερ ϗ κυρβασίαν τὴν ἐπὶ τῆς κεφαλῆς τιθεμένην. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶν "ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείᾳ."

Κυρεῖον· Ἰσοκράτης Πανηγυρικῷ. Κυρεῖον στράτευμα τὸ μετὰ Κύρου συναναβεβηκός, ὅτε ἐστράτευσεν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην· οὗ μετεῖχε ϗ Ξενοφῶν.

Κυρηβίων· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ὅτι δ' ἐπώνυμόν ἐστι τοῦτο Ἐπικράτους τοῦ Αἰσχίνου κηδεστοῦ, ϗ ἐν ἄλλοις δεδήλωται.

κυρία ἐκκλησία· Ὑπερίδης ἐν τῷ κατὰ Δημέου ξενίας, εἰ γνήσιος. τίνες δὲ αἱ κύριαι ἐκκλησίαι, Ἀριστοτέλης δεδήλωκεν ἐν τῇ Ἀθηναίων πολιτείᾳ, λέγων τοὺς πρυτάνεις συνάγειν τὴν βουλὴν ϗ τὸν δῆμον, τὴν μὲν βουλὴν ὁσημέραι, πλὴν ἐάν τις ἀφέ-

1 et 2. κυννίδαι A. 1. κροκωνιαδῶν A, κροκωνιάδων BC. κορωνίδας BC. 3. § 114. 5 — 7. om C. 5. Δημοσθένης — Ῥοδίων om AB in lacuna, add Maussacus. § 9. 8. κύπαστις BCDG. ἐκβαχίου BC. 9. γλωσσοφάγοι C. 10. κύπαστιν BCG, κύπασιν D. 11. κυσσιοι A, κύσιοι B. 12. κυπάστεις BCDG. περσικὰς B, περισσὰς C. 16. ἑστῶτας ὀρθὰς A. οὓς schol. Aristophan. Nub.: ὡς codices. 17. ἀνατάσεως Heynius Apollodori t. 1 p. 396: codices ἀναστάσεως. κεκορυφοῦσθαι A. 21. βασιλίδι D. 22. § 144? 25. § 287. δ' om BG. 27. μηδέου C. 29. συνάγων C. 30. τὴν μὲν N: ceteri ἢ τὴν.

σιμος ἢ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάϛης. "προγράφυσι δέ" φησι "ϗ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν οἳ δοκῦσι μὴ καλῶς ἄρχειν, ϗ περὶ φυλακῆς δὲ τῆς χώρας." ϗ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βυλομένυς ποιεῖσθαί φησι, ϗ τὰ ἑξῆς.

Κυρσίλον. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος "τὸν μὲν ταῦτα συμβυλεύσαντα Θεμιϛοκλέα ϛρατηγὸν ἑλόμενοι, τὸν δὲ ὑπακύειν ἀποφηνάμενον Κυρσίλον καταλιθώσαντες."

κωδία. τὴν τῆς μήκωνος κεφαλὴν ὕτω καλῦσιν· Ἀριϛοφάνης Γεωργοῖς "ἀγαθήν γε κωδίαν."

Κωλιάς· Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ γνήσιος. ἐπιθαλασσία ἄκρα τῆς Ἀττικῆς ἐϛὶν ἡ Κωλιάς, ἐκ μεταφορᾶς τῦ κώλυ ὠνομασμένη· ἔϛι δ' αὐτόθι Ἀφροδίτης ἱερόν. μέμνηται Ἀριϛοφάνης κατ' ἀρχὴν τῆς Λυσιϛράτης.

Λαγίσκα· Λυσίας ἐν τῷ πρὸς Λαΐδα, εἰ γνήσιος. Λαγίσκας τῆς ἑταίρας μνημονεύει ϗ Στράττις ὁ κωμικὸς ὕτω "Λαγίσκαν τὴν Ἰσοκράτυς παλλακὴν ἰδεῖν με συκάζυσαν εὐναίαν ἔτι τόν τ' αὐλοτρύπην αὐτόν."

λαμπάδιον. ἣν νῦν ἡμεῖς λαμπάδα καλῦμεν, ὕτως ὠνόμαζον Δείναρχος ἐν τῷ κατὰ Πυθέυ ϗ Πλάτων ἐν α' τῆς Πολιτείας.

λαμπάς· Λυσίας ἐν τῷ κατ' Εὐφήμυ. τρεῖς ἄγυσιν Ἀθηναῖοι ἑορτὰς λαμπάδας, Παναθηναίοις ϗ Ἡφαιϛείοις ϗ Προμηθείοις, ὡς Πολέμων φησὶν ἐν τῷ περὶ τῶν ἐν τοῖς προπυλαίοις πινάκων. Ἴϛρος δ' ἐν α' τῶν Ἀτθίδων, εἰπὼν ὡς ἐν τῇ τῶν Ἀπατυρίων ἑορτῇ Ἀθηναίων οἱ καλλίϛας ϛολὰς ἐνδεδυκότες, λαβόντες ἡμμένας λαμπάδας ἀπὸ τῆς ἑϛίας, ὑμνῦσι τὸν Ἥφαιϛον θέοντες, ὑπόμνημα τῦ κατανοήσαντα τὴν χρείαν τῦ πυρὸς διδάξαι τὺς ἄλλυς.

1. τὸν δὲ] τόνδε τὸν A. προγράφυσι Iungermann. Polluc. 8 95: codices προσγράφυσι. 3. οἳ] εἰ N. 4. δὲ add D. 5. ποιῆσθαι C.

6. § 204. 8. ἀποφηνάμενοι B. 9. κώδνα A, κνῶδα BC, κνῶ[δ] N. κωδία D, qui ἡ τῆς μήκωνος κεφαλή. ὑπερίδης καὶ ἀριϛοφάνης. 10. ἀγαθήν γε om C. κωδίαν om ABC, add ex O Maussacus. 11. § 34. 12. τῆς ἀττικῆς D, ἀττικὴ ABC, B quidem post Κωλιάς. 15. λαγκίσκα C. 16. ϛρᾶτις B. tentabam "ὕτω Λ. — παλλακὴν ἴδοιμι σ. sed cf. Vit. Isocrat. ed. Dindorf. p. x. 17. τὴν] καὶ τὴν ABG. συνευνάζυσαν A. 18. τὸν ταυλοτρύπην C, τὸν ταὐτολοτρύπην AB. 19. ἡμεῖς νῦν B. 20. p. 420. 22. λαμπάδος A. ἠφαιϛίοις C. 24. ἐν τῇ α ἀτθίδων N. ἐν om AB. 26. λαμβάνοντες BCG. 27. θέοντες Valesius: codices θύοντες. κατανοήσαντος codices.

Λαμπτρεῖς· Δημοσθένης ἐν τῷ πρὸς Κάλλιππον. Λαμπτραὶ δῆμος τῆς Ἐρεχθηΐδος, ὡς Διόδωρός φησι. β' δ' εἰσὶ Λαμπτραί, αἱ μὲν παράλιαι αἱ δὲ καθύπερθεν· Ἀριςοφάνης Ἀμφιάρεῳ "Λαμπτρεὺς ἔγωγε τῶν κάτω."

λάρκος· Λυσίας ἐν τῷ πρὸς Καλλιππίδην. λάρκος ἐςὶ φορμὸς εἰς ὃν ἄνθρακας ἐνέβαλλον. κέχρηνται τῷ ὀνόματι ἄλλοι τε καὶ Ἀριςοφάνης Ἀχαρνεῦσιν.

λαρυγγίζειν. τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι ἀλλ' ἐπιτηδεύειν περιεργότερον τῷ λάρυγγι χρῆσθαι οὕτως ἐλέγετο· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Λεβάδεια· Λυκοῦργος ἐν τῷ κατὰ Λυσικλέους. πόλις ἐςὶ τῆς Βοιωτίας.

λέμβος· Δημοσθένης ἐν τῷ πρὸς Ζηνόθεμιν. εἶδος νεὼς ὁ λέμβος· πολλάκις δὲ εἴρηται ἐν τῇ κωμῳδίᾳ.

λέσχαι· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. λέσχας ἔλεγον δημοσίους τινὰς τόπους, ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο πολλοί. Ὅμηρος "οὐδ' ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθὼν ἠέ που ἐς λέσχην." Κλεάνθης ἐν τῷ περὶ θεῶν ἀπονενεμῆσθαι τῷ Ἀπόλλωνι τὰς λέσχας φησίν, ἐξέδραις δὲ ὁμοίας γίνεσθαι αὐτάς, καὶ παρ' ἐνίοις τὸν θεὸν λεσχηνόριον ἐπικαλεῖσθαι.

Λευκάς· Δημοσθένης ἐν θ' Φιλιππικῶν. νῆσός ἐςι πρὸ τῆς Ἠπείρου κειμένη. διείλεκται δὲ περὶ τῆς ἀκτῆς ἀκριβέςερον Στράβων ἐν τῷ ι' τῶν Γεωγραφουμένων. ἐν μέσῳ δὲ καὶ τὸ Μενάνδρου δρᾶμα ἡ Λευκαδία.

λεύκη. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος "ἐςεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ." οἱ τὰ Βακχικὰ τελέμενοι τῇ λεύκῃ ςέφονται τῷ χθόνιον μὲν εἶναι τὸ φυτὸν χθόνιον δὲ καὶ τὸν τῆς Περσεφόνης Διόνυσον. τὴν δὲ λεύκην πεφυκέναι φασὶ

1. λαμπρεῖς BG, Λαμπτρεῖς — Κάλλιππον om C. § 3. 1 et 2. λαμπραὶ BC. 3. πάραλοι cod. Paris. 2552. 4. λαμπρεὺς BCN. 5. λάρκοι BC. 7. v. 333. 9. ἀλλ' — χρῆσθαι om BC. 10. ἐλέγετο om D. § 291. 11. λιβάδεια D. ἐςὶ om BC. 13. § 6. ὁ om B. 14. ἐν Γ^η κωμωδίᾳ C, ἐν Γ̄ κωμωδίας B. 15. λέσχους A. 16. οἱ πολλοί Toupius 3 p. 464 et 4 p. 406. 17. Od. 18 328. οὐ θέλεις A, οὐκ ἐθέλεις BC. ἤπου λέσχην BC, ἤπου ἐς λέσχην G. 19. λέσχυς A. ἐξαίδραι B, ἐξέδρας C. ὁμοίαις A. 20. λέσχην ὅριον ABD. 21. φιλιππικῶν θ̄, omissa ἐν, BC. Phil. 3 34. 22. ἀκτῆς Valesius, ἀττικῆς ABC. ἀκριβέςατον A. 23. β^ω C. 25. § 260. ἐςεφανωμένω B. 26. λεύκῃ] βάκχη C. 27. τῷ χθόνιον N: αὐτοχθόνιον ceteri. 28. φησὶ B.

παρὰ τῷ Ἀχέροντι, ὅθεν ϗ ἀχερωΐδα καλεῖσθαι παρ' Ὁμήρῳ· "ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωῒς ἠὲ πίτυς βλωθρή."

Λευκὴ ἀκτή· Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην, πλειόνων ὄντων Λευκῶν, ὡς Δημήτριος ὁ Μάγνης δηλοῖ, ἔοικε τῆς ἐν Προποντίδι μνημονεύειν ὁ ῥήτωρ νῦν.

Λευκονοιεύς· Δημοσθένης ἐν τῷ κατ' Ἀφόβȣ. Λευκόνοιον δῆμος τῆς Λεοντίδος, ὡς Διόδωρός φησιν.

Λεῦκτρα· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἔϛι δὲ χωρίον Βοιώτιον περὶ Θεσπιάς.

Λεχαῖον. ἐν τῇ Μιξιδήμȣ ἀπολογίᾳ φησὶ Λυσίας ὅτι τὸ Λεχαῖον ἑάλω Μνασίππȣ ἄρχοντος. ἔϛι δὲ τὸ Λεχαῖον ἐπίνειον Κορινθίων, καθά φησι Στράβων ἐν η' Γεωγραφȣμένων.

Λεωκόρειον· Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. τὸ δὲ Λεωκόρειον εἶναί φησι Φανόδημος ἐν θ' Ἀτθίδος ἐν μέσῳ τῷ Κεραμεικῷ.

ληξιαρχικὸν γραμματεῖον Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχȣ, εἰς ὃ ἐνεγράφοντο οἱ τελεωθέντες τῶν παίδων, οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν, παρ' ὃ ϗ τȣ̃νομα γεγονέναι, διὰ τὸ τῶν λήξεων ἄρχειν· λήξεις δ' εἰσὶν οἵ τε κλῆροι ϗ αἱ οὐσίαι, ὡς ϗ Δείναρχος ἐν τῇ α' καθ' Ἡγελόχȣ συνηγορίᾳ ὑπὲρ ἐπικλήρȣ.

λῆξις τὸ ἔγκλημα, καθ' ὃν λόγον φαμὲν ϗ λαχεῖν δίκην· Ἰσαῖος ἐν τῇ πρὸς Βοιωτὸν ἐφέσει.

Λητή· Ὑπερίδης κατὰ Δημάδȣ. Λητὴ πόλις ἐϛὶ τῆς Μακεδονίας, μνημονεύει δὲ αὐτῆς πολλάκις Μαρσύας ὁ νεώτερος ἐν ϛ' Μακεδονικῶν.

λίθος. Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος "τῶν τε παρόντων καθ' ἕνα ἡμῖν ἑτωσὶ ϗ πρὸς τὸν λίθον ἄγοντες ϗ ἐξορκȣ̃ντες." ἐοίκασι δ' Ἀθηναῖοι πρός τινι λίθῳ τȣ̀ς ὅρκȣς ποιεῖσθαι,

1. παρὰ D, πρὸς ABC. ἀχερωνίδα BC. Il. 13 389. 2. τις om B. ἀγχερωῒς B. ἠὲ] ἤϋτε C, ἠῢτε G. 3. 1 27. 4. μάγης AD, μέγας BC. 6 — 9. om C. 6. λευκονεὺς D, Λευκονοεὺς Boeckh. Inscript. t. 1 p. 151 a. 1 14. λευκόνιον D, λευκώνιον B. 8. § 18.

9. παρὰ G. 10. μιξοδήμȣ A. 12. ἐν τῷ Γ^ω O. 13. § 7. 14. φαινόδημος A. τῶν κεραμειϰῶν B, τῶν κεραμικῶν C. 16. § 18. 17. τελεωθέντες D, τελεσθέντες ABC. 19. τὸ om BD. 20. ὡς — 21. om C. 20. καταγελόχȣ O. 22. λῆξος C. τὸ] καὶ τὸ pr A. 23. βοιωτȣ̀ς BC. 24. λητὴ N, λιτὴ ABC. ἐν τῷ κατὰ C. μιμάδȣ B. ἐϛὶ τῆς om N, τῆς om C. 25. δὲ om C. 27. § 26, ubi nunc βωμὸν et ἐξορκίζοντες. 28. ἐξαρκȣ̃ντες C. 29. δ'] δ' ȣ̃ν D.

ὡς Ἀριςοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ ϗ Φιλόχορος ἐν τῷ γ' ὑποσημαίνεσιν.

λικναφόρος· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τὸ λίκνον πρὸς πᾶσαν τελετὴν ϗ θυσίαν ἐπιτήδειόν ἐςιν· ὁ τῦτο ἂν φέρων λικνοφόρος λέγοιτ' ἄν. [λίκνον τὸ πτύον.]

Λιπάρα· Δείναρχος Τυρρηνικῷ. μία τῶν καλεμένων Αἰόλε νήσων περὶ τὴν Σικελίαν ἡ Λιπάρα, ὡς Εὔδοξος ζ' περιόδε.

λογισμὸς ἡ λογιςικὴ τέχνη· Ἰσοκράτης Βεσίριδι.

λογιςαὶ ϗ λογιςήρια. ἀρχή τις παρ' Ἀθηναίοις ὅτω καλεμένη· εἰσὶ δὲ τὸν ἀριθμὸν ι', οἱ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονϑ ἐν ἡμέραις λ', ὅταν τὰς ἀρχὰς ἀποθῶνϑ οἱ ἄρχοντες· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. διείλεκϑ περὶ τέτων Ἀριςοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ἔνθα δείκνυϑ ὅτι διαφέρεσι τῶν εὐθυνῶν. μέμνηνϑ τῆς ἀρχῆς ϗ οἱ κωμικοί· Εὔπολις Πόλεσιν "ἄνδρες λογιςαὶ τῶν ὑπευθύνων χορῶν." λογιςήρια δ' ἐςὶ τὰ τῶν λογιςῶν ἀρχεῖα, ὡς Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτες ϗ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν μυςηρίων δηλῦσιν.

λογοποιὸς ὁ ὑφ' ἡμῶν ἱςορικὸς λεγόμενος· Ἰσοκράτης Βεσίριδι ϗ Ἡρόδοτος ἐν τῷ β'.

λόγε τυχεῖν ἀντὶ τῦ ἐπαίνε Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Λοιδίας· Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ὅτι Μακεδονίας ἐςὶ ποταμός, ἄλλοι τε ἱςορῦσι ϗ Ἑκαταῖος ἐν περιόδῳ Εὐρώπης.

λετροφόρος ϗ λετροφορεῖν. ἔθος ἦν τοῖς γαμῦσι λετρὰ μεταπέμπεσθ ἑαυτοῖς κατὰ τὴν τῦ γάμε ἡμέραν, ἔπεμπον δ' ἐπὶ ταῦτα τὸν ἐγγύτατα γένες παῖδα ἄρρενα, ϗ ὗτοι ἐλετροφόρεν. ἔθος δὲ ἦν ϗ τῶν ἀγάμων ἀποθανόντων λετροφόρον

2. μνημονεύεσι C. 3. § 260. 4. τελετὴν] ἀρκτὴν B, ἀρετὴν C. 6 et 7. λιπαρὰ B. 6. τυραννικῶ ABC, τυρρηνικῶ Valesius. μετὰ B. αἰόλων νῆσος BC. 7. παρὰ ABCG. ἔνδοξος AB. 8. λογικὴ CG. § 23? 10. οἳ] καὶ N, κόδροις A, λόδροις B, λόγοις C. διωκωμένων B, διωκομένων C. 11. ἐκλογίζονται ante 10. τῶν C. 12. § 117. 13. ἀθηναίων om A. 15. ὑπευθυνῶν A, ἐπευθυνῶν BG. 16. χωρῶν G, χειρῶν O. εἰσὶ N. 17. ἐν — Ἀνδοκίδης om B. § 78. 19. § 37.

20. καὶ om AB. ἡρόδης C. ιβ (ω) ABC. c. 143. 21. ἐπαίνε] εἰπεῖν Valesius. ὑπὲρ] κατὰ AB, om C. de cor. 13? 23. τῶ παραπρεσβείας D. § 124. ὅτι δὲ τῆς μακ. A. 25. τοῖς om BC.

27. ἐγγ. καὶ γένες BCG. 28. δὲ] γὰρ BC. λετροφορεῖν (ον) ἐπὶ N: ceteri λετροφορεῖν καὶ ἐπὶ.

ἐπὶ τὸ μνῆμα ἐφίστασθαι· τοῦτο δὲ ἦν παῖς ὑδρίαν ἔχων. λέγει περὶ τούτων Δείναρχος ἔν τε τῷ κατὰ Θεοδότου καὶ ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. ὅτι δὲ τὰ λουτρὰ ἐκόμιζον ἐκ τῆς νῦν μὲν Ἐννεακρούνου καλουμένης κρήνης πρότερον δὲ Καλλιρρόης, Πολύστεφανος ἐν τῷ περὶ κρηνῶν φησί. μέμνηνται δὲ τοῦ ἔθους οἱ κωμικοί.

Λουσιεύς· Ὑπερίδης ἐν τῷ πρὸς τὴν Δημέου γραφήν. δῆμός ἐστι τῆς Οἰνηΐδος Λουσία, ἀφ' οὗ ὁ δημότης Λουσιεύς, ὡς Διόδωρός φησιν.

Λύκειον· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων ἐστὶ τὸ Λύκειον, ὃ Θεόπομπος μὲν ἐν τῇ κα' Πεισίστρατον ποιῆσαι, Φιλόχορος δ' ἐν τῇ δ' Περικλέους φησὶν ἐπιστατοῦντος αὐτὸ γενέσθαι.

Λυκιουργεῖς· Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. Δίδυμός φησι τὰς ὑπὸ Λυκίου κατεσκευασμένας φιάλας, τοῦ Μύρωνος υἱοῦ, οὕτως εἰρῆσθαι. ἀγνοεῖν δὲ ἔοικεν ὁ γραμματικὸς ὅτι τὸν τοιοῦτον σχηματισμὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἂν τις εὕροι γινόμενον, μᾶλλον δὲ ἀπὸ πόλεων καὶ ἐθνῶν· "κλίνη Μιλησιουργής" Κριτίας φησὶν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. μήποτ' οὖν γραπτέον καὶ παρ' Ἡροδότῳ ἐν τῇ ζ', ἀντὶ τοῦ προβόλους β' Λυκοεργέας, Λυκιεργέας, ἵνα ὥσπερ παρὰ τῷ Δημοσθένει οὕτως ὀνομάζηται τὰ ἐν Λυκίᾳ εἰργασμένα.

Λυκοῦργος εἷς τῶν ι' ῥητόρων, οὗ πάππος Λυκοῦργος ὁ νομοθέτης.

Λύσανδρος ὄνομα κύριον, Λακεδαιμονίων ναύαρχος.

Λυσίμαχος· Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν. ἦν δὲ Ἀριστείδου υἱὸς τοῦ δικαίου ἐπικληθέντος. ἕτερος δ' ἐστὶ Λυσίμαχος οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ περὶ τῆς διοικήσεως ὡς εὐτελοῦς μελοποιοῦ.

Μαιμακτηριὼν ὁ ε' μὴν παρ' Ἀθηναίοις· Δημοσθένης ἐν τῷ

3. ἀγγελία ABC. 4. καλλιρόης AN. 7. δημαίου ABC. 8. οὗ] ἧς BC, om A. φυλέτης N. 10. § 114. 11. μὲν om C. 12. κα'] κατὰ BC. πεισίστρατον D, πεισιστράτου AB, πεισιστράτους C. ποιῆσαι C. 13. γίγνεσθαι C. 14. ἐν] φησιν ἐν B. § 31. 15. ἀπὸ C. 18. κλίνας N. μιλυδιουργής B, μιλυσιουργὸς C, μιλησιουργεῖς N. 19. ἀθηναίων C. 20. c. 76. προβόλους B. 21. λυκοεργείας B, λυκιεργίας C, λυκοεργίας G. λυκιοεργέας A, λυκιεργίας CG, om BD. τὸ δημοσθένης C. 23 — 24. om C. 23. ὁ νομοθέτης] ἐνομοθέτησεν D. 26. § 115. 27. ἐπικληθέντος δικαίου C. 30. ε'] v. Boeckh. ad Inscr. 523. Δημοσθένης — Τιμόθεον om C. § 22.

πρὸς Τιμόθεον. ὠνόμασαι δὲ ἀπὸ Διὸς μαιμάκτου, μαιμάκτης δ' ἐστὶν ὁ ἐνθουσιώδης καὶ ταρακτικός, ὥς φησι Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν· ἀρχὴν δὲ λαμβάνοντος τοῦ χειμῶνος ἐν τούτῳ τῷ μηνὶ ὁ ἀὴρ ταράττεται καὶ μεταβολὴν ἴσχει.

Μακροκέφαλοι· Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος μέμνηται ἐν γ' Γυναικῶν καταλόγῳ. Παλαίφατος δ' ἐν ζ' Τρωϊκῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους.

μαλακίζομεν. Δημοσθένης θ' Φιλιππικῶν φησὶ "μένομεν καὶ μαλακιζόμεθα." ἐν ἐνίοις γράφεται μαλκίομεν, ὅπερ δηλοῖ τὸν ὄρρον φρίττειν. Αἰσχύλος Ἑλλαδίῳ "κεκμῆτι μαλκίων ποδί."

μάλθη ὁ μεμαλαγμένος κηρός· Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. Ἱππῶναξ "ἔπειτα μάλθη τὴν τρόπιν παραχρίσας."

Μαντινέων διοικισμός. Ἰσοκράτης ἐν τῷ περὶ τῆς εἰρήνης περὶ Λακεδαιμονίων λέγων φησὶ "Μαντινέας διῴκισαν," καὶ Ἔφορος ἐν τῇ κ' φησὶν ὅτι εἰς ε' κώμας τὴν Μαντινέων διῴκισαν πόλιν Λακεδαιμόνιοι.

Μαργίτης. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος "ἐπωνυμίαν δὲ Ἀλεξάνδρῳ Μαργίτην ἔθετο." καὶ Μαρσύας ἐν ε' τῶν περὶ Ἀλεξάνδρου ἱστορεῖ λέγων Μαργίτην ὑπὸ Δημοσθένους καλεῖσθαι τὸν Ἀλέξανδρον. ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην, ὅπερ ποίημα Καλλίμαχος θαυμάζειν ἔοικεν.

Μαρώνεια· Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ. τόπος ἐστὶ τῆς Ἀττικῆς. ἔστι μέντοι καὶ πόλις ἐν Θρᾴκῃ Μαρώνεια, ἣν φασιν εἶναι τὴν ὑφ' Ὁμήρου Ἴσμαρον καλουμέ-

1. ὠνομάσθη D. 2. λυσιμάχης C. 3. ἀθηναίων BC. 6. μακροκεφάλους BC. Ἀντ. — ὁμονοίας om BC. 7. Ἡσίοδος] v. Meinek. Menandri reliq. p. 11. μέμνηται post καταλόγῳ AD. ἑβδόμῳ D. 9. κόλων D. 10. μαλακίομεν CGN: nonne μαλκίομεν? θ' om BC. φιλιππικῷ C. Phil. 3 35. 11. μαλκιζόμεθα D, μακιζόμεθα B. ἐν — τὸν] δηλοῖ δὲ τὸ τὸν N. γράφομεν AD, γράφομεν καὶ C. μαλκίομεν D, μακίομεν B, μαλακίομεν AC. 12. ὅρρον N, ὅρον B, ὅρον AC. ἑλλαδίω A, ἐν Λαΐῳ Gronovius: cf. Hermann. Opusc. 3 p. 139. μαλακίων BCN. ποδὶ ἤτοι πορεία N. 13. μάλθαι BC. § 11. 14. τρόπην AB. χρίσας A. 15. § 100. 16. περὶ τῶν λ. B. 17. τὴν om C. 19. Αἰσχίνης om BC. § 160. 20. ἔθετο D, ἔθεντο ABC. μαρσύαν A. 25 — p. 124 2. om C. 25. § 4. γραφῇ AB, παραγραφῇ Valesius.

ἐπὶ τὸ μνῆμα ἐφίστασθαι· τοῦτο δὲ ἦν παῖς ὑδρίαν ἔχων. λέγει περὶ τούτων Δείναρχος ἔν τε τῷ κατὰ Θεοδότου καὶ ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. ὅτι δὲ τὰ λουτρὰ ἐκόμιζον ἐκ τῆς νῦν μὲν Ἐννεακρούνου καλουμένης κρήνης πρότερον δὲ Καλλιρρόης, Πολύστεφανος ἐν τῷ περὶ κρηνῶν φησί. μέμνηνται δὲ τοῦ ἔθους οἱ κωμικοί.

Λουσιεύς· Ὑπερίδης ἐν τῷ πρὸς τὴν Δημέου γραφήν. δῆμός ἐστι τῆς Οἰνηΐδος Λουσία, ἀφ' οὗ ὁ δημότης Λουσιεύς, ὡς Διόδωρός φησιν.

Λύκειον· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων ἐστὶ τὸ Λύκειον, ὃ Θεόπομπος μὲν ἐν τῇ κα' Πεισίστρατον ποιῆσαι, Φιλόχορος δ' ἐν τῇ δ' Περικλέους φησὶν ἐπιστατοῦντος αὐτὸ γενέσθαι.

Λυκιουργεῖς· Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. Δίδυμός φησι τὰς ὑπὸ Λυκίου κατεσκευασμένας φιάλας, τοῦ Μύρωνος υἱοῦ, οὕτως εἰρῆσθαι. ἀγνοεῖν δὲ ἔοικεν ὁ γραμματικὸς ὅτι τὸν τοιοῦτον σχηματισμὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἄν τις εὕροι γινόμενον, μᾶλλον δὲ ἀπὸ πόλεων καὶ ἐθνῶν· "κλίνη Μιλησιουργής" Κριτίας φησὶν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. μήποτ' οὖν γραπτέον καὶ παρ' Ἡροδότῳ ἐν τῇ ζ', ἀντὶ τοῦ προβόλους β' Λυκοεργέας, Λυκιεργέας, ἵνα ὥσπερ παρὰ τῷ Δημοσθένει οὕτως ὀνομάζηται τὰ ἐν Λυκίᾳ εἰργασμένα.

Λυκοῦργος εἷς τῶν ι' ῥητόρων, οὗ πάππος Λυκοῦργος ὁ νομοθέτης.

Λύσανδρος ὄνομα κύριον, Λακεδαιμονίων ναύαρχος.

Λυσίμαχος· Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν. ἦν δὲ Ἀριστείδου υἱὸς τοῦ δικαίου ἐπικληθέντος. ἕτερος δ' ἐστὶ Λυσίμαχος οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ περὶ τῆς διοικήσεως ὡς εὐτελοῦς μελοποιοῦ.

Μαιμακτηριὼν ὁ ε' μὴν παρ' Ἀθηναίοις· Δημοσθένης ἐν τῷ

3. ἀγγελίᾳ ABC. 4. καλλιρόης AN. 7. δημαίου ABC. 8. οὗ] ἧς BC, om A. φυλέτης N. 10. § 114. 11. μὲν om C. 12. κα'] κατὰ BC. πεισίστρατον D, πεισιστράτου AB, πεισιστράτους C. ποιήσει C. 13. γίγνεσθαι C. 14. ἐν] φησιν ἐν B. § 31. 15. ἀπὸ C. 18. κλίνας N. μιλυδιουργής B, μιλυσιουργὸς C, μιλησιουργεῖς N. 19. ἀθηναίων C. 20. c. 76. προβόλους B. 21. λυκοεργείας B, λυκιεργίας C, λυκοεργίας G. λυκιοεργέας A, λυκιεργίας CG, om BD. τὸ δημοσθένης C. 23 — 24. om C. 23. ὁ νομοθέτης] ἐνομοθέτησεν D. 26. § 115. 27. ἐπικληθέντος δικαίου C. 30. ε'] v. Boeckh. ad Inscr. 523. Δημοσθένης — Τιμόθεον om C. § 22.

πρὸς Τιμόθεον. ὠνόμασται δὲ ἀπὸ Διὸς μαιμάκτου, μαιμάκτης δ' ἐστὶν ὁ ἐνθουσιώδης καὶ ταρακτικός, ὥς φησι Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν· ἀρχὴν δὲ λαμβάνοντος τοῦ χειμῶνος ἐν τούτῳ τῷ μηνὶ ὁ ἀὴρ ταράττεται καὶ μεταβολὴν ἴσχει.

Μακροκέφαλοι· Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος μέμνηται ἐν γ' Γυναικῶν καταλόγῳ. Παλαίφατος δ' ἐν ζ' Τρωϊκῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους.

μαλακίζομεν. Δημοσθένης θ' Φιλιππικῶν φησὶ "μένομεν καὶ μαλακιζόμεθα." ἐν ἐνίοις γράφεται μαλκίομεν, ὅπερ δηλοῖ τὸν ὄρρον φρίττειν. Αἰσχύλος Ἑλλαδίῳ "κεκμῆτι μαλκίων ποδί."

μάλθη ὁ μεμαλαγμένος κηρός· Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. Ἱππῶναξ "ἔπειτα μάλθῃ τὴν τρόπιν παραχρίσας."

Μαντινέων διοικισμός. Ἰσοκράτης ἐν τῷ περὶ τῆς εἰρήνης περὶ Λακεδαιμονίων λέγων φησὶ "Μαντινέας διῴκισαν," καὶ Ἔφορος ἐν τῇ κ' φησὶν ὅτι εἰς ε' κώμας τὴν Μαντινέων διῴκισαν πόλιν Λακεδαιμόνιοι.

Μαργίτης. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος "ἐπωνυμίαν δὲ Ἀλεξάνδρῳ Μαργίτην ἔθετο." καὶ Μαρσύας ἐν ε' τῶν περὶ Ἀλεξάνδρου ἱστορεῖ λέγων Μαργίτην ὑπὸ Δημοσθένους καλεῖσθαι τὸν Ἀλέξανδρον. ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην, ὅπερ ποίημα Καλλίμαχος θαυμάζειν ἔοικεν.

Μαρώνεια· Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ· τόπος ἐστὶ τῆς Ἀττικῆς. ἔστι μέντοι καὶ πόλις ἐν Θρᾴκῃ Μαρώνεια, ἣν φασιν εἶναι τὴν ὑφ' Ὁμήρου Ἴσμαρον καλουμέ-

1. ὠνομάσθη D. 2. λυσιμάχης C. 3. ἀθηναίων BC. 6. μακροκεφάλους BC. Ἀντ. — ὁμονοίας om BC. 7. Ἡσίοδος] v. Meinek. Menandri reliq. p. 11. μέμνηται post καταλόγῳ AD. ἑβδόμῳ D. 9. κόλων D. 10. μαλακίομεν CGN: nonne μαλκίομεν? θ' om BC. φιλιππικῷ C. Phil. 3 35. 11. μαλκιζόμεθα D, μακιζόμεθα B. ἐν — τὸν] δηλοῖ δὲ τὸ τὸν N. γράφομεν AD, γράφομεν καὶ C. μαλκίομεν D, μακίομεν B, μαλακίομεν AC. 12. ὅρρον N, ὄρον B, ὅρον AC. ἑλλαδίω A, ἐν Λαΐῳ Gronovius: cf. Hermann. Opusc. 3 p. 139. μαλακίων BCN. ποδὶ ἤτοι πορεία N. 13. μάλθαι BC. § 11. 14. τρόπην AB. χρίσας A. 15. § 100. 16. περὶ τῶν λ. B. 17. τὴν om C. 19. Αἰσχίνης om BC. § 160. 20. ἔθετο D, ἔθεντο ABC. μαρσύαν A. 25 — p. 124 2. om C. 25. § 4. γραφῇ AB, παραγραφῇ Valesius.

νην· μνημονεύουσι δὲ αὐτῆς Δημοσθένης τε ἐν τῷ πρὸς Πολυκλέα καὶ Ἔφορος ἐν τῇ δ'.

Μασσαλία. Ἰσοκράτης μέν φησιν ἐν Ἀρχιδάμῳ ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν· ὅτι δὲ πρὸ τούτων τῶν χρόνων ἤδη ὑπὸ Φωκαέων ᾤκιστο ἡ Μασσαλία, καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ δηλοῖ.

Μάστειρα. ἐν η' Φιλιππικῶν Δημοσθένης "τῶν μὲν ἐν Θρᾴκῃ κακῶν· τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάστειραν;" μήποτε γραπτέον Βάστειραν ἢ Πίστειραν ἢ Ἐπίμαστον, ἐπεὶ ταύτας τὰς πόλεις εὑρίσκομεν παρ' Ἀναξιμένει ἐν ζ' τῶν περὶ Φίλιππον, τὴν δὲ Μάστειραν οὐδαμοῦ μνήμης τυχοῦσαν.

μαστῆρες· Ὑπερίδης ἐν τῷ πρὸς Πάγκαλον. ἔοικεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς εἰ ζητηταὶ καὶ οἱ ἐν Πελλήνῃ μάστροι, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνέων πολιτείᾳ.

ματρυλεῖον· Δείναρχος ἐν τῷ κατὰ Προξένου. Ἡρακλέων καὶ Δίδυμος τόπον τινά φασιν εἶναι ἐν ᾧ γρᾶες διατρίβουσαι δέχονται τοὺς βουλομένους καταμεθυσθῆναι· Μένανδρος Ἐπιτρέπουσιν "οὐκ οἰμώξει καταφθαρεὶς ἐν ματρυλείῳ τὸν βίον;"

Μαχάτας ὄνομα κύριον.

Μαύσωλος· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ὄνομα κύριον, ἄρχων Καρῶν. φησὶ δὲ αὐτὸν Θεόπομπος μηδενὸς ἀπέχεσθαι πράγματος χρημάτων ἕνεκα.

μέδιμνος· Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. μέτρον ἐστὶ ξηρῶν, οἷον πυρῶν ἢ κριθῶν, ἔχει δὲ χοίνικας μη', καθά φησι Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τοῖς ἐξηγητικοῖς τῆς Ἀττικῆς διαλέκτου.

1. καλλικλέα (πολυ supra) B. § 21. 3. ἐν om B. § 84. 4. εἰς om pr B. 5. ἀπώκισαν BC. ἤδη om C. φωκέων BC. 8. ὀγδόῃ ABC. de Cherson. 44. 9. δρογγύλον BCD. 10. πίστυραν B. 11. η (η supra) C. 14. τῶ ζητεῖν τὰ κοινὰ τῶ δήμω BCG. 15. Πελληνέων Valesius: codices πελληνίων. 17. ματρυλεῖον (λ supra) N et mox ματρυλλείω. ἡρακλείων BC. 18. τινά om BC. φησιν C. 20. καταφθαρεὶς N, καταφθαρεῖσθε ABC, καταφθερεῖσθαι D, καταφθαρῆσθε G. 21. om BC. 22. μαυσωλός AB. § 12. κύριον om B. 23. μαρῶν C. 25. κατὰ om AC. 26. ξηρὸν ADN. χωρῶν χοίνικας η' καὶ μ' N. οἷον] ἢ B. 27. θυατηρινὸς ABC, θυατηρηνὸς (ει supra) N.

Μεθώνη· Δημοσθένης Φιλιππικοῖς. λέγοι ἂν τὴν ἐν Θρᾴκῃ, ἣν πολιορκῶν Φίλιππος ἐξεκόπη τὸν δεξιὸν ὀφθαλμόν. Δημήτριος δ' ὁ Μάγνης ἐν ταῖς Συνωνύμοις πόλεσι τέσσαρας εἶναί φησι Μεθώνας.

μεῖον ϗ *μειαγωγός.* Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα "παρέςησε μεῖον." θῦμά ἐςιν ὃ τοῖς φράτορσι παρεῖχον οἱ τὲς παῖδας εἰσάγοντες εἰς τέτες. Ἐρατοσθένης δ' ἐν τοῖς περὶ κωμῳδίας φησὶν ὅτως "νόμε ὄντος μὴ μεῖον εἰσάγειν ὡρισμένε τινός, ἐπισκώπτοντες μετὰ παιδιᾶς πάντα τὸν εἰσάγοντα μεῖον ἔφασαν εἰσάγειν, ὅθεν τὸ μὲν ἱερεῖον μεῖον προσηγορεύθη, μειαγωγὸς δὲ ὁ εἰσάγων." Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν "οἱ φράτορές" φησιν, "ἵνα μείζονας νέμωνται μερίδας, ἐφώνεν ἐςῶτες ἱςάνειν δεῖν, μεῖον γάρ ἐςι." περὶ δὲ τῦ μειαγωγῦ Εὔπολις ἐν Δήμοις "τοιγαρῦν στρατηγὸς ἐξ ἐκείνε τῦ χρόνε οὐδεὶς δύναιτ' ἄν, ὥσπερ μειαγωγὸς ἑστιῶν, τῆς τῦδε νίκης πλείονα ἑλκύσαι ςαθμόν." *μειαγωγῆσαι* δέ ἐςι τὸ ἐπιδῦναι τοῖς φράτορσι τὸ μεῖον, ὡς Λυσίας ἐν τῷ κατὰ Δημοσθένες ἐπιτροπῆς.

Μελανίππειον· Λυκῦργος ἐν τῷ κατὰ Λυκόφρονος. Μελανίππε τῦ Θησέως ἡρῷόν ἐςιν, ὥς φησιν Ἀσκληπιάδης Τραγῳδεμένοις. Κλείδημος δ' ἐν α' Ἀτθίδος ἐν Μελίτῃ αὐτὸ εἶναι λέγει.

Μελανωπός· Δημοσθένης κατ' Ἀνδροτίωνος. ὄνομα κύριον, κηδεςὴς Διοφάντε τῦ ῥήτορος.

μελίνη· Δημοσθένης Φιλιππικοῖς. ὀσπρίε ἐςὶ σπέρμα, ϗ ἀρσενικῶς λέγεσι· θηλυκῶς δὲ Σοφοκλῆς Τριπτολέμῳ "κνήμη μελίνης" ϗ Ἡρόδοτος "σπείροντες μελίνην." Ξενοφῶν Ἀναβά-

1. ἐν φ. D. Olynth. 1 9. 3. δ' om BC. 5. μεῖον — παρέςησε om BC. παρέςη D. 6. ἐςιν] δ' ἐςὶν D, om C. 8. ἔτος C. νόμε ὄντος om BC. 9. ἐπισκώπτοντα (— ας C) μετὰ παιδείας ABC: correxit Valesius. 10. τὸ μὲν ἱερεῖον N, τὰ μὲν ἱερεῖα ABC. προσηγορεύθη μεῖον A. 11. δὲ om CG. 13. περιεςῶτες schol. Aristophan. Ran. ἱςάνειν] κτανεῖν D. 15. ὀδεὶς ante ςρατηγὸς Blancardus, ὀδεεὶς vel ὀδ' ἂν εἷς Dobraeus p. 587. 15. δύναιτ' ἂν Gronovius (cf. Porson. ad E. Hec. 1183): δύναται ABCG. 16. θυμόν BC. 21. κλείδικος C. δ' om B. 23. Ἀνδροτ.] immo Timocrat. 12. 25. de Cherson. 45. ὄσπριόν ἐςιν ὅπερ καὶ ἀρσενικῶς λέγεται. σοφοκλῆς μὲν γὰρ καὶ ἡρόδοτος καὶ ξενοφῶν θηλυκῶς εἶπον μελλίνην, ξενοφῶν δὲ ὁ αὐτὸς ἐν τῇ ἀναβάσει καὶ μέλλινον καὶ μελλίνες εἶπε :– D. ἐςὶ τὸ σπέρμα C et rc B. ἀρρενικῶς N.
26. τριπτολέμε ACG, τριπολέμε B. κνήμη] μνήμε BCG. 27. 3 117. σπείροντος μελίνης BCG, omissis Ξενοφῶν — μελίνης.

σεως α' "ϗ σίτȣ ϗ μελίνης," ἐν δὲ τῷ αὐτῷ "πολὺν δὲ σήσαμον ϗ μέλινον" ϗ ἐν ϛ' "ϗ ὄσπρια πάντα ϗ μελίνȣς." ἔνιοι μὲν ȣ̓ν εἶδος κέγχρȣ νομίζȣσι τὴν μελίνην, ὅπερ τινὰς καλεῖν ἔλυμον· Θεόφραϛος δὲ ἐν ζ' περὶ φυτῶν ὡς διαφέροντα ταῦτα ἀναγράφει, "κέγχρον ἢ μελίνην ἢ ἔλυμον."

Μελίτη· Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. δῆμός ἐϛι τῆς Κεκροπίδος· κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν γ' ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος, κατὰ δὲ Μȣσαῖον Δίȣ τȣ̃ Ἀπόλλωνος.

Μένδη· Δημοσθένης κατὰ Λακρίτȣ. μία πόλις ἐϛὶ τῶν ἐν Παλλήνῃ Μένδη, ὑπὸ Ἐρετριέων ᾠκισμένη.

Μενέλαος· Δημοσθένης Φιλιππικοῖς. ἀδελφὸς Φιλίππȣ ὁμοπάτριος.

μεσεγγύημα τὸ ὁμολογηθὲν ἀργύριον παρ' ἀνδρὶ μέσῳ γινομένῳ ἐγγυητῇ τῆς ἀποδόσεως. ϗ **μεσεγγυήσασθαι** τὸ ποιῆσαι τȣ̃το λέγεται, ὡς ὑποσημαίνει Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

Μεταγειτνιών· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενίππȣ. ὁ β' μὴν παρ' Ἀθηναίοις ȣ̔́τω καλεῖται, ἐν δὲ τȣ́τῳ Ἀπόλλωνι Μεταγειτνίῳ θύȣσιν, ὡς Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν.

μεταλλεῖς· Λυσίας ἐν τῷ πρὸς Διοχάρη, εἰ γνήσιος. οἱ τὰ μέταλλα ἐργαζόμενοι μεταλλεῖς ὀνομάζονται. ἔϛι δὲ ϗ δρᾶμα Φερεκράτȣς Μεταλλεῖς, ὅπερ Νικόμαχόν φησι πεποιηκέναι Ἐρατοσθένης ἐν ζ' περὶ τῆς ἀρχαίας κωμῳδίας.

μεταπύργιον· Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν. τὸ ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τȣ̃ τείχȣς πύργων μεταπύργιον ἐλέγετο. ȣ̔́τω ϗ Θȣκυδίδης πολλάκις, ὥσπερ ἐν τῇ γ'.

μετοίκιον· Ὑπερίδης ἐν τῷ κατ' Ἀριϛαγόρας. μέτοικος μέν ἐϛιν ὁ ἐξ ἑτέρας πόλεως μετοικῶν ἐν ἑτέρᾳ ϗ μὴ πρὸς ὀλί-

1. 1 5 11? 1 2 22. πολλὴν B. σίσαμον καὶ μελίνην C. 2. καὶ om B, καὶ — μελίνη om C. 6 4 6. μελίνα B, μέλινα G. 3. ȣ̓ν om BC. τινὲς ἔλυμον ὀνομάζȣσι N. 4 et 5. ἔλυμνον A. 4. δὲ om BC. διαφέρον C. 6. § 7. 8. μελήτης A. θυγατρὸς om C. 10. λακτρίτȣ A. § 10. ἐϛὶ πόλις C. πελλήνη BD. 11. ἀπῳκισμένη D. 12. Phil. 1 27. 14. ἀγγεῖον C. 16. § 125. 18. ὁ add N. δευτέρῳ C. 19. μεταγειτνιῶνι BC. 20. τῶν om B. 22. διοχάρην B. τὰ add DN. 24. ὥσπερ BC. ἐρατοσθένης πεποιηκέναι C. 27. τȣ̃ om pr B. 28. c. 22. 29. ἀριϛαγόρȣ AB.

γον ὡς ξένος ἐπιδημῶν, ἀλλὰ τὴν οἴκησιν αὐτόθι κατακτησάμενος. ἐδίδοντο δὲ ὑπ᾽ αὐτῶν καθ᾽ ἕκαϛον ἔτος δραχμαὶ ιβ', ὅπερ ὠνόμαϛο μετοίκιον, ὡς δηλοῖ Εὔβϐλος ἐν τῇ Πλαγγόνι. Ἰσαῖος δ᾽ ἐν τῷ κατ᾽ Ἐλπαγόρϐ ϗ Δημοφάνϐς ὑποσημαίνει ὅτι ὁ μὲν ἀνὴρ ιβ' δραχμὰς ἐτέλει μετοίκιον, ἡ δὲ γυνὴ ϛ', ϗ ὅτι τϐ υἱϐ τελϐντος ἡ μήτηρ ϐκ ἐτέλει· μὴ τελϐντος δ᾽ ἐκείνϐ αὐτὴ τελεῖ. ὅτι δὲ ϗ οἱ δϐλοι ἀφεθέντες ὑπὸ τῶν δεσποτῶν ἐτέλϐν τὸ μετοίκιον, ἄλλοι τε τῶν κωμικῶν δεδηλώκασι ϗ Ἀριϛομένης. Μένανδρος δ᾽ ἐν Ἀνατιθεμένῃ ϗ ἐν Διδύμαις πρὸς ταῖς ιβ' δραχμαῖς ϗ τριώβολόν φησι τέτϐς τελεῖν, ἴσως τῷ τελώνῃ. οἱ μέντοι μὴ τιθέντες τὸ μετοίκιον μέτοικοι ἀπήγοντο πρὸς τϐς πωλητάς, ϗ εἰ ἑάλωσαν ἐπιπράσκοντο, ὥς φησι Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριϛογείτονος. ἐνεβίβαζον δὲ ϗ εἰς τὰς ναῦς τϐς μετοίκϐς, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν Φιλιππικοῖς δηλοῖ. ἐκάλϐν δὲ οἱ κωμικοὶ σκαφέας τϐς μετοίκϐς, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον ϗτοι.

μετοιωνίσασθαι ἀντὶ τϐ μεταθέσθαι τὸν φαῦλον οἰωνὸν Δείναρχος ἐν τῷ κατὰ Δημοσθένϐς.

μετρονόμοι. ἀρχή τις Ἀθήνησιν ἐϛιν ἡ τῶν μετρονόμων, ὡς Δείναρχος ἐν τῷ κατὰ Καλλισθένϐς. ἦσαν δὲ τὸν ἀριθμὸν ιε', εἰς μὲν τὸν Πειραιᾶ ι', ε' δ᾽ εἰς ἄϛυ, εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλϐντων, ὡς ϗ Ἀριϛοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ δηλοῖ.

μέταυλος· Λυσίας ἐν τῇ ὑπὲρ τϐ Ἐρατοσθένϐς φόνϐ ἀπολογίᾳ. μέταυλός ἐϛιν ἡ ῥυπαρὰ λεγομένη αὐλή, ϗ ὄρνιθες ἦσαν· Ἀριϛοφάνης Λημνίαις ϗ Μένανδρος Θαΐδι.

Μηκύβερνα· Ὑπερίδης ἐν τῷ κατὰ Δημάδϐ. πόλις ἐϛὶν ἐν Θρᾴκῃ ϛαδίϐς κ' ἀπέχϐσα τῆς Ὀλύνθϐ ἡ Μηκύβερνα.

Μηλόβιος· Ὑπερίδης ἐν τῷ κατ᾽ Αὐτοκλέϐς. ἔϛι δὲ εἷς τῶν λ' τῶν παρ᾽ Ἀθηναίοις τυραννησάντων.

μητρῷον· Λυκϐργος ἐν τῷ κατ᾽ Ἀριϛογείτονος. τϐς νόμους

3. ὠνόμαϛαι BC. Πλαγγόνι Salmasius, πλαγγῶνι BC, πλαγῶνι A. 6. καὶ om B. ἡ μήτηρ] ἐκείνη C. μὴ δὲ τελϐντος ἐκείνϐ B. 9. Μένανδρος δ᾽ ἐν om BC. 11. τιμηθέντες B. 12. πωλητὰς Valesins, πολίτας ABC. 13. 1 57. 14. ὁ om B. 15. Phil. 1 36. τϐς om B. 19. ἐϛιν ἀθήνησιν B. 20. κατὰ om BC. 21. εἰς μὲν τὸν Πειραιᾶ πέντε, δέκα δ᾽ εἰς ἄϛυ Boeckhius Oec. civ. p. 52. ιε μὲν εἰς πειραιᾶ ϑ δὲ εἰς ἄϛυ D. 24. § 17. 26. λημνείαις AB. 30. τῶν om A. 31. νόθϐς ABC.

παρὰ τῷ Ἀχέροντι, ὅθεν καὶ ἀχερωΐδα καλεῖσθαι παρ' Ὁμήρῳ· „ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωῒς ἠὲ πίτυς βλωθρή."

Λευκὴ ἀκτή· Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην, πλειόνων οὐσῶν Λευκῶν, ὡς Δημήτριος ὁ Μάγνης δηλοῖ, ἔοικε τῆς ἐν Προποντίδι μνημονεύειν ὁ ῥήτωρ νῦν.

Λευκονοιεύς· Δημοσθένης ἐν τῷ κατ' Ἀφόβου. Λευκόνοιον δῆμος τῆς Λεοντίδος, ὡς Διόδωρός φησιν.

Λεῦκτρα· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἔστι δὲ χωρίον Βοιώτιον περὶ Θεσπιάς.

Λεχαῖον. ἐν τῇ Μιξιδήμου ἀπολογίᾳ φησὶ Λυσίας ὅτι τὸ Λεχαῖον ἑάλω Μνασίππου ἄρχοντος. ἔστι δὲ τὸ Λεχαῖον ἐπίνειον Κορινθίων, καθά φησι Στράβων ἐν η' Γεωγραφουμένων.

Λεωκόρειον· Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. τὸ δὲ Λεωκόρειον εἶναί φησι Φανόδημος ἐν θ' Ἀτθίδος ἐν μέσῳ τῷ Κεραμεικῷ.

ληξιαρχικὸν γραμματεῖον Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, εἰς ὃ ἐνεγράφοντο οἱ τελεωθέντες τῶν παίδων, οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν, παρ' ὃ καὶ τοὔνομα γεγονέναι, διὰ τὸ τῶν λήξεων ἄρχειν· λήξεις δ' εἰσὶν οἵ τε κλῆροι καὶ αἱ οὐσίαι, ὡς καὶ Δείναρχος ἐν τῇ α' καθ' Ἡγελόχου συνηγορίᾳ ὑπὲρ ἐπικλήρου.

λῆξις τὸ ἔγκλημα, καθ' ὃν λόγον φαμὲν καὶ λαχεῖν δίκην· Ἰσαῖος ἐν τῇ πρὸς Βοιωτὸν ἐφέσει.

Λητή· Ὑπερίδης κατὰ Δημάδου. Λητὴ πόλις ἐστὶ τῆς Μακεδονίας, μνημονεύει δὲ αὐτῆς πολλάκις Μαρσύας ὁ νεώτερος ἐν ς' Μακεδονικῶν.

λίθος. Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος „τῶν τε παρόντων καθ' ἕνα ἡμῖν ἐστῶσι καὶ πρὸς τὸν λίθον ἄγοντες καὶ ἐξορκοῦντες." ἐοίκασι δ' Ἀθηναῖοι πρός τινι λίθῳ τοὺς ὅρκους ποιεῖσθαι,

1. παρὰ D, πρὸς ABC. ἀχερωνίδα BC. Il. 13 389. 2. τις om B. ἀγχερωῒς B. ἠὲ] ἤΰτε C, ηὔτε G. 3. 1 27. 4. μάγνης AD, μέγας BC. 6 — 9. om C. 6. λευκονεὺς D, Λευκονοεὺς Boeckh. Inscript. t. 1 p. 151 a. 1 14. λευκόνιον D, λευκώνιον B. 8. § 18. 9. παρὰ G. 10. μιξοδήμου A. 12. ἐν τῷ Γ^{ω} O. 13. § 7. 14. φαινόδημος A. τῶν κεραμεικῶν B, τῶν κεραμικῶν C. 16. § 18. 17. τελεωθέντες D, τελεσθέντες ABC. 19. τὸ om BD. 20. ὡς — 21. om C. 20. καταγελόχου O. 22. λῆξος C. τὸ] καὶ τὸ pr A. 23. βοιωτοὺς BC. 24. λητὴ N, λιτὴ ABC. ἐν τῷ κατὰ C. μιμάδου B. ἐστὶ τῆς om N, τῆς om C. 25. δὲ om C. 27. § 26, ubi nunc βωμὸν et ἐξορκίζοντες. 28. ἐξαρκοῦντες C. 29. δ'] δ' ἂν D.

ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Φιλόχορος ἐν τῷ γ' ὑποσημαίνουσιν.

λικναφόρος· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τὸ λίκνον πρὸς πᾶσαν τελετὴν καὶ θυσίαν ἐπιτήδειόν ἐστιν· ὁ τοῦτο οὖν φέρων λικνοφόρος λέγοιτ' ἄν. [λίκνον τὸ πτύον.]

Λιπάρα· Δείναρχος Τυρρηνικῷ. μία τῶν καλουμένων Αἰόλου νήσων περὶ τὴν Σικελίαν ἡ Λιπάρα, ὡς Εὔδοξος ζ' περιόδου.

λογισμὸς ἡ λογιστικὴ τέχνη· Ἰσοκράτης Βουσίριδι.

λογισταὶ καὶ λογιστήρια. ἀρχή τις παρ' Ἀθηναίοις οὕτω καλουμένη· εἰσὶ δὲ τὸν ἀριθμὸν ι', οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις λ', ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. διείλεκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθυνῶν. μέμνηνται τῆς ἀρχῆς καὶ οἱ κωμικοί· Εὔπολις Πόλεσιν "ἄνδρες λογισταὶ τῶν ὑπευθύνων χορῶν." λογιστήρια δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν μυστηρίων δηλοῦσιν.

λογοποιὸς ὁ ὑφ' ἡμῶν ἱστορικὸς λεγόμενος· Ἰσοκράτης Βουσίριδι καὶ Ἡρόδοτος ἐν τῷ β'.

λόγου τυχεῖν ἀντὶ τοῦ ἐπαίνου Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Λοιδίας· Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ὅτι Μακεδονίας ἐστὶ ποταμός, ἄλλοι τε ἱστοροῦσι καὶ Ἑκαταῖος ἐν περιόδῳ Εὐρώπης.

λουτροφόρος καὶ λουτροφορεῖν. ἔθος ἦν τοῖς γαμοῦσι λουτρὰ μεταπέμπεσθαι ἑαυτοῖς κατὰ τὴν τοῦ γάμου ἡμέραν, ἔπεμπον δ' ἐπὶ ταῦτα τὸν ἐγγύτατα γένους παῖδα ἄρρενα, καὶ οὗτοι ἐλουτροφόρουν. ἔθος δὲ ἦν καὶ τῶν ἀγάμων ἀποθανόντων λουτροφόρον

2. μνημονεύουσι C. 3. § 260. 4. τελετὴν] ἀρκτὴν B, ἀρετὴν C. 6 et 7. λιπαρὰ B. 6. τυραννικῷ ABC, τυρρηνικῷ Valesius. μετὰ B. αἰόλων νῆσος BC. 7. παρὰ ABCG. ἔνδοξος AB. 8. λογικὴ CG. § 23? 10. οἳ] καὶ N, κόδροις A, λόδροις B, λόγοις C. διωκωμένων B, διωκομένων C. 11. ἐκλογίζονται ante 10. τῶν C. 12. § 117. 13. ἀθηναίων om A. 15. ὑπευθυνῶν A, ἐπευθυνῶν BG. 16. χωρῶν G, χειρῶν O. εἰσὶ N. 17. ἐν — Ἀνδοκίδης om B. § 78. 19. § 37. 20. καὶ om AB. ἡρόδης C. $\overset{\omega}{\overline{\iota\beta}}$ ABC. c. 143. 21. ἐπαίνου] εἰπεῖν Valesius. ὑπὲρ] κατὰ AB, om C. de cor. 13? 23. τῷ παραπρεσβείας D. § 124. ὅτι δὲ τῆς μακ. A. 25. τοῖς om BC. 27. ἐγγ. καὶ γένους BCG. 28. δὲ] γὰρ BC. $\overset{ον}{\text{λατροφορειν}}$ ἐπὶ N: ceteri λουτροφορεῖν καὶ ἐπί.

ἐπὶ τὸ μνῆμα ἐφίστασθαι· τοῦτο δὲ ἦν παῖς ὑδρίαν ἔχων. λέγει περὶ τούτων Δείναρχος ἔν τε τῷ κατὰ Θεοδότου καὶ ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. ὅτι δὲ τὰ λουτρὰ ἐκόμιζον ἐκ τῆς νῦν μὲν Ἐννεακρούνου καλουμένης κρήνης πρότερον δὲ Καλλιρρόης, Πολύστεφανος ἐν τῷ περὶ κρηνῶν φησί. μέμνηνται δὲ τοῦ ἔθους οἱ κωμικοί.

Λουσιεύς· Ὑπερίδης ἐν τῷ πρὸς τὴν Δημέου γραφήν. δῆμός ἐστι τῆς Οἰνηΐδος Λουσία, ἀφ' οὗ ὁ δημότης Λουσιεύς, ὡς Διόδωρός φησιν.

Λύκειον· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων ἐστὶ τὸ Λύκειον, ὃ Θεόπομπος μὲν ἐν τῇ κα' Πεισίστρατον ποιῆσαι, Φιλόχορος δ' ἐν τῇ ϛ' Περικλέους φησὶν ἐπιστατοῦντος αὐτὸ γενέσθαι.

Λυκιουργεῖς· Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. Δίδυμός φησι τὰς ὑπὸ Λυκίου κατεσκευασμένας φιάλας, τοῦ Μύρωνος υἱοῦ, οὕτως εἰρῆσθαι. ἀγνοεῖν δὲ ἔοικεν ὁ γραμματικὸς ὅτι τὸν τοιοῦτον σχηματισμὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἄν τις εὕροι γινόμενον, μᾶλλον δὲ ἀπὸ πόλεων καὶ ἐθνῶν· "κλίνη Μιλησιουργής" Κριτίας φησὶν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. μήποτ' οὖν γραπτέον καὶ παρ' Ἡροδότῳ ἐν τῇ ζ', ἀντὶ τοῦ προβόλους β' Λυκοεργέας, Λυκιεργέας, ἵνα ὥσπερ παρὰ τῷ Δημοσθένει οὕτως ὀνομάζηται τὰ ἐν Λυκίᾳ εἰργασμένα.

Λυκοῦργος εἷς τῶν ι' ῥητόρων, οὗ πάππος Λυκοῦργος ὁ νομοθέτης.

Λύσανδρος ὄνομα κύριον, Λακεδαιμονίων ναύαρχος.

Λυσίμαχος· Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν. ἦν δὲ Ἀριστείδου υἱὸς τοῦ δικαίου ἐπικληθέντος. ἕτερος δ' ἐστὶ Λυσίμαχος οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ περὶ τῆς διοικήσεως ὡς εὐτελοῦς μελοποιοῦ.

Μαιμακτηριὼν ὁ ε' μὴν παρ' Ἀθηναίοις· Δημοσθένης ἐν τῷ

3. ἀγγελία ABC. 4. καλλιρόης AN. 7. δημαίου ABC. 8. οὗ] ἧς BC, om A. φυλέτης N. 10. § 114. 11. μὲν om C. 12. κα'] κατὰ BC. πεισίστρατον D, πεισιστράτου AB, πεισιστράτους C. ποιήσει C. 13. γίγνεσθαι C. 14. ἐν] φησιν ἐν B. § 31. 15. ἀπὸ C. 18. κλίνας N. μιλυδιουργής B, μιλυσιουργὸς C, μιλησιουργεῖς N. 19. ἀθηναίων C. 20. c. 76. προβόλους B. 21. λυκοεργείας B, λυκιεργίας C, λυκοεργίας G. λυκιοεργέας A, λυκιεργίας CG, om BD. τὸ δημοσθένης C. 23 — 24. om C. 23. ὁ νομοθέτης] ἐνομοθέτησεν D. 26. § 115. 27. ἐπικληθέντος δικαίου C. 30. ε'] v. Boeckh. ad Inscr. 523. Δημοσθένης — Τιμόθεον om C. § 22.

πρὸς Τιμόθεον. ὠνόμάςαι δὲ ἀπὸ Διὸς μαιμάκτȣ, μαιμάκτης δ᾽ ἐςὶν ὁ ἐνθȣσιώδης ϗ ταρακτικός, ὥς φησι Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν· ἀρχὴν δὲ λαμβάνοντος τȣ̃ χειμῶνος ἐν τȣ́τῳ τῷ μηνὶ ὁ ἀὴρ ταράττεꝉ ϗ μεταβολὴν ἴχει.

Μακροκέφαλοι· Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐςὶν ȣ̔́τω καλȣ́μενον, ȣ̔ ϗ Ἡσίοδος μέμνηꝉ ἐν γ′ Γυναικῶν καταλόγῳ. Παλαίφατος δ᾽ ἐν ζ′ Τρωϊκῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τȣ̀ς Μακροκεφάλȣς.

μαλακίζομεν. Δημοσθένης θ′ Φιλιππικῶν φησὶ "μένομεν ϗ μαλακιζόμεθα." ἐν ἐνίοις γράφεꝉ μαλκίομεν, ὅπερ δηλοῖ τὸν ὅρρον φρίττειν. Αἴσχυλος Ἑλλαδίῳ "κεκμῆτι μαλκίων ποδί."

μάλθη ὁ μεμαλαγμένος κηρός· Δημοσθένης ἐν τῷ κατὰ Στεφάνȣ. Ἱππῶναξ "ἔπειτα μάλθῃ τὴν τρόπιν παραχρίσας."

Μαντινέων διοικισμός. Ἰσοκράτης ἐν τῷ περὶ τῆς εἰρήνης περὶ Λακεδαιμονίων λέγων φησὶ "Μαντινέας διῴκισαν," ϗ Ἔφορος ἐν τῇ κ′ φησὶν ὅτι εἰς ε′ κώμας τὴν Μαντινέων διῴκισαν πόλιν Λακεδαιμόνιοι.

Μαργίτης. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος "ἐπωνυμίαν δὲ Ἀλεξάνδρῳ Μαργίτην ἔθετο." ϗ Μαρσύας ἐν ε′ τῶν περὶ Ἀλεξάνδρȣ ἱςορεῖ λέγων Μαργίτην ὑπὸ Δημοσθένȣς καλεῖσθαι τὸν Ἀλέξανδρον. ἐκάλȣν δὲ τȣ̀ς ἀνοήτȣς ȣ̔́τω διὰ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην, ὅπερ ποίημα Καλλίμαχος θαυμάζειν ἔοικεν.

Μαρώνεια· Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ· τόπος ἐςὶ τῆς Ἀττικῆς. ἔςι μέντοι ϗ πόλις ἐν Θρᾴκῃ Μαρώνεια, ἣν φασιν εἶναι τὴν ὑφ᾽ Ὁμήρȣ Ἴσμαρον καλȣμέ-

1. ὠνομάσθη D. 2. λυσιμάχης C. 3. ἀθηναίων BC. 6. μακροκεφάλȣς BC. Ἀντ. — ὁμονοίας om BC. 7. Ἡσίοδος] v. Meinek. Menandri reliq. p. 11. μέμνηται post καταλόγῳ AD. ἑβδόμῳ D.
9. κόλων D. 10. μαλακίομεν CGN: nonne μαλκίομεν? θ′ om BC. φιλιππικῷ C. Phil. 3 35. 11. μαλκιζόμεθα D, μακιζόμεθα B. ἐν — τὸν] δηλοῖ δὲ τὸ τὸν N. γράφομεν AD, γράφομεν καὶ C. μαλκίομεν D, μακίομεν B, μαλακίομεν AC. 12. ὄρρον N, ὄρον B, ὅρον AC. ἐλαδίω A, ἐν Λαΐῳ Gronovius: cf. Hermann. Opusc. 3 p. 139. μαλακίων BCN. ποδὶ ἤτοι πορεία N. 13. μάλθαι BC. § 11. 14. τρόπην AB. χρίσας A. 15. § 100. 16. περὶ τῶν λ. B. 17. τὴν om C. 19. Αἰσχίνης om BC. § 160. 20. ἔθετο D, ἔθεντο ABC. μαρσύαν A. 25 — p. 124 2. om C. 25. § 4. γραφῇ AB, παραγραφῇ Valesius.

νην· μνημονεύουσι δὲ αὐτῆς Δημοσθένης τε ἐν τῷ πρὸς Πολυκλέα καὶ Ἔφορος ἐν τῇ δʹ.

Μασσαλία. Ἰσοκράτης μέν φησιν ἐν Ἀρχιδάμῳ ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν· ὅτι δὲ πρὸ τούτων τῶν χρόνων ἤδη ὑπὸ Φωκαέων ᾤκιστο ἡ Μασσαλία, καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ δηλοῖ.

Μάστειρα. ἐν ηʹ Φιλιππικῶν Δημοσθένης "τῶν μὲν ἐν Θρᾴκῃ κακῶν· τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάστειραν;" μήποτε γραπτέον Βάστειραν ἢ Πίστειραν ἢ Ἐπίμαστον, ἐπεὶ ταύτας τὰς πόλεις εὑρίσκομεν παρ' Ἀναξιμένει ἐν ζʹ τῶν περὶ Φίλιππον, τὴν δὲ Μάστειραν οὐδαμοῦ μνήμης τυχοῦσαν.

μαστῆρες· Ὑπερίδης ἐν τῷ πρὸς Πάγκαλον. ἔοικεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζητηταὶ καὶ οἱ ἐν Πελλήνῃ μάστροι, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνέων πολιτείᾳ.

ματρυλεῖον· Δείναρχος ἐν τῷ κατὰ Προξένου. Ἡρακλέων καὶ Δίδυμος τόπον τινά φασιν εἶναι ἐν ᾧ γρᾶες διατρίβουσαι δέχονται τοὺς βουλομένους καταμεθυσθῆναι· Μένανδρος Ἐπιτρέπουσιν "οὐκ οἰμώξεται καταφθαρεὶς ἐν ματρυλείῳ τὸν βίον;"

Μαχάτας ὄνομα κύριον.

Μαύσωλος· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ὄνομα κύριον, ἄρχων Καρῶν. φησὶ δὲ αὐτὸν Θεόπομπος μηδενὸς ἀπέχεσθαι πράγματος χρημάτων ἕνεκα.

μέδιμνος· Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. μέτρον ἐστὶ ξηρῶν, οἷον πυρῶν ἢ κριθῶν, ἔχει δὲ χοίνικας μηʹ, καθά φησι Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τοῖς ἐξηγητικοῖς τῆς Ἀττικῆς διαλέκτου.

1. καλλικλέα (πολυ superscr.) B. § 21. 3. ἐν om B. § 84. 4. εἰς om pr B. 5. ἀπώκισαν BC. ἤδη om C. φωκέων BC. 8. ὀγδόῃ ABC. de Cherson. 44. 9. δρογγύλον BCD. 10. πίστυραν B. 11. η (η superscr.) C. — 14. τῶ ζητεῖν τὰ κοινὰ τῶ δήμω BCG. 15. Πελληνέων Valesius: codices πελληνίων. 17. ματρυλεῖον (λ superscr.) N et mox ματρυλλείω. ἡρακλείων BC. 18. τινά om BC. φησιν C. 20. καταφθαρεὶς N, καταφθαρεῖσθε ABC, καταφθερεῖσθαι D, καταφθαρῆσθε G. 21. om BC. 22. μαυσωλός AB. § 12. κύριον om B. 23. μαρῶν C. 25. κατὰ om AC. 26. ξηρὸν ADN. χωρῶν χοίνικας ηʹ καὶ μʹ N. οἷον] ἢ B. 27. θυατηρινὸς ABC, θυατηρηνὸς (ει superscr.) N.

Μεθώνη· Δημοσθένης Φιλιππικοῖς. λέγοι ἂν τὴν ἐν Θρᾴκῃ, ἣν πολιορκῶν Φίλιππος ἐξεκόπη τὸν δεξιὸν ὀφθαλμόν. Δημήτριος δ' ὁ Μάγνης ἐν ταῖς Συνωνύμοις πόλεσι τέσσαρας εἶναί φησι Μεθώνας.

μεῖον ϗ *μειαγωγός.* Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα "παρέϛησε μεῖον." θῦμά ἐϛιν ὃ τοῖς φράτορσι παρεῖχον οἱ τȣ̀ς παῖδας εἰσάγοντες εἰς τȣ́τȣς. Ἐρατοσθένης δ' ἐν τοῖς περὶ κωμῳδίας φησὶν ȣ̔́τως "νόμȣ ὄντος μὴ μεῖον εἰσάγειν ὡρισμένȣ τινός, ἐπισκώπτοντες μετὰ παιδιᾶς πάντα τὸν εἰσάγοντα μεῖον ἔφασαν εἰσάγειν, ὅθεν τὸ μὲν ἱερεῖον μεῖον προσηγορεύθη, μειαγωγὸς δὲ ὁ εἰσάγων." Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν "οἱ φράτορές" φησιν, "ἵνα μείζονας νέμωνται μερίδας, ἐφώνȣν ἑϛῶτες ἱϛάνειν δεῖν, μεῖον γάρ ἐϛι." περὶ δὲ τȣ̃ μειαγωγȣ̃ Εὔπολις ἐν Δήμοις "τοιγαρȣ̃ν στρατηγὸς ἐξ ἐκείνȣ τȣ̃ χρόνȣ οὐδεὶς δύναιτ' ἄν, ὥσπερ μειαγωγὸς ἑστιῶν, τῆς τȣ̃δε νίκης πλείονα ἑλκύσαι ϛαθμόν." *μειαγωγῆσαι* δέ ἐϛι τὸ ἐπιδȣ̃ναι τοῖς φράτορσι τὸ μεῖον, ὡς Λυσίας ἐν τῷ κατὰ Δημοσθένȣς ἐπιτροπῆς.

Μελανίππειον· Λυκȣ̃ργος ἐν τῷ κατὰ Λυκόφρονος. Μελανίππȣ τȣ̃ Θησέως ἡρῷόν ἐϛιν, ὥς φησιν Ἀσκληπιάδης Τραγῳδȣμένοις. Κλείδημος δ' ἐν α' Ἀτθίδος ἐν Μελίτῃ αὐτὸ εἶναι λέγει.

Μελανωπός· Δημοσθένης κατ' Ἀνδροτίωνος. ὄνομα κύριον, κηδεϛὴς Διοφάντȣ τȣ̃ ῥήτορος.

μελίνη· Δημοσθένης Φιλιππικοῖς. ὀσπρίȣ ἐϛὶ σπέρμα, ϗ ἀρσενικῶς λέγȣσι· θηλυκῶς δὲ Σοφοκλῆς Τριπτολέμῳ "κνήμη μελίνης" ϗ Ἡρόδοτος "σπείροντες μελίνην." Ξενοφῶν Ἀναβά-

1. ἐν φ. D. Olynth. 1 9. 3. δ' om BC. 5. μεῖον — παρέϛησε om BC. παρέϛη D. 6. ἐϛιν] δ' ἐϛὶν D, om C. 8. ȣ̔́τος C. νόμȣ ὄντος om BC. 9. ἐπισκώπτοντα (— ας C) μετὰ παιδείας ABC: correxit Valesius. 10. τὸ μὲν ἱερεῖον N, τὰ μὲν ἱερεῖα ABC. προσηγορεύθη μεῖον A. 11. δὲ om CG. 13. περιεϛῶτες schol. Aristophan. Ran. ἱϛάνειν] κτανεῖν D. 15. ȣ̓δεὶς ante ϛρατηγὸς Blancardus, ȣ̓δεεὶς vel ȣ̓δ' ἂν εἷς Dobraeus p. 587. 15. δύναιτ' ἂν Gronovius (cf. Porson. ad E. Hec. 1183): δύναται ABCG. 16. θυμόν BC. 21. κλείδικος C. δ' om B. 23. Ἀνδροτ.] immo Timocrat. 12. 25. de Cherson. 45. ὄσπριόν ἐϛιν ὅπερ καὶ ἀρσενικῶς λέγεται. σοφοκλῆς μὲν γὰρ καὶ ἡρόδοτος καὶ ξενοφῶν θηλυκῶς εἶπον μελλίνην, ξενοφῶν δὲ ὁ αὐτὸς ἐν τῇ ἀναβάσει καὶ μέλλινον καὶ μελλίνȣς εἶπε :– D. ἐϛὶ τὸ σπέρμα C et rc B. ἀρρενικῶς N. 26. τριπτολέμȣ ACG, τριπολέμȣ B. κνήμη] μνήμȣ BCG. 27. 3 117. σπείροντος μελίνης BCG, omissis Ξενοφῶν — μελίνης.

σεως α' "ϗ σίτȣ ϗ μελίνης," ἐν δὲ τῷ αὐτῷ "πολὺν δὲ σήσαμον ϗ μέλινον" ϗ ἐν ϛ' "ϗ ὄσπρια πάντα ϗ μελίνȣς." ἔνιοι μὲν ȣ̓̃ν εἶδος κέγχρȣ νομίζȣσι τὴν μελίνην, ὅπερ τινὰς καλεῖν ἔλυμον· Θεόφραςος δὲ ἐν ζ' περὶ φυτῶν ὡς διαφέροντα ταῦτα ἀναγράφει, "κέγχρον ἢ μελίνην ἢ ἔλυμον."

Μελίτη· Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. δῆμός ἐςι τῆς Κεκροπίδος· κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν γ' ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος, κατὰ δὲ Μȣσαῖον Δίȣ τȣ̃ Ἀπόλλωνος.

Μένδη· Δημοσθένης κατὰ Λακρίτȣ. μία πόλις ἐςὶ τῶν ἐν Παλλήνῃ Μένδη, ὑπὸ Ἐρετριέων ᾠκισμένη.

Μενέλαος· Δημοσθένης Φιλιππικοῖς. ἀδελφὸς Φιλίππȣ ὁμοπάτριος.

μεσεγγύημα τὸ ὁμολογηθὲν ἀργύριον παρ' ἀνδρὶ μέσῳ γινομένῳ ἐγγυητῇ τῆς ἀποδόσεως. ϗ μεσεγγυήσασθαι τὸ ποιῆσαι τȣ̃το λέγεται, ὡς ὑποσημαίνει Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

Μεταγειτνιών· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενίππȣ. ὁ β' μὴν παρ' Ἀθηναίοις ȣ̔́τω καλεῖται, ἐν δὲ τȣ́τῳ Ἀπόλλωνι Μεταγειτνίῳ θύȣσιν, ὡς Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν.

μεταλλεῖς· Λυσίας ἐν τῷ πρὸς Διοχάρη, εἰ γνήσιος. οἱ τὰ μέταλλα ἐργαζόμενοι μεταλλεῖς ὀνομάζονται. ἔςι δὲ ϗ δρᾶμα Φερεκράτȣς Μεταλλεῖς, ὅπερ Νικόμαχόν φησι πεποιηκέναι Ἐρατοσθένης ἐν ζ' περὶ τῆς ἀρχαίας κωμῳδίας.

μεταπύργιον· Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν. τὸ ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τȣ̃ τείχȣς πύργων μεταπύργιον ἐλέγετο. ȣ̔́τω ϗ Θȣκυδίδης πολλάκις, ὥσπερ ἐν τῇ γ'.

μετοίκιον· Ὑπερίδης ἐν τῷ κατ' Ἀριςαγόρας. μέτοικος μέν ἐςιν ὁ ἐξ ἑτέρας πόλεως μετοικῶν ἐν ἑτέρᾳ ϗ μὴ πρὸς ὀλί-

1. 1 5 11? 1 2 22. πολλὴν B. σίσαμον καὶ μελίνην C. 2. καὶ om B, καὶ — μελίνη om C. 6 4 6. μελίνα B, μέλινα G. 3. ȣ̓̃ν om BC. τινὲς ἔλυμον ὀνομάζȣσι N. 4 et 5. ἔλυμνον A. 4. δὲ om BC. διαφέρον C. 6. § 7. 8. μελήτης A. θυγατρὸς om C. 10. λακτρίτȣ A. § 10. ἐςὶ πόλις C. πελλήνη BD. 11. ἀπωκισμένη D. 12. Phil. 1 27. 14. ἀγγεῖον C. 16. § 125. 18. ὁ add N. δευτέρῳ C. 19. μεταγειτνιῶνι BC. 20. τῶν om B. 22. διοχάρην B. τὰ add DN. 24. ὥσπερ BC. ἐρατοσθένης πεποιηκέναι C. 27. τȣ̃ om pr B. 28. c. 22. 29. ἀριςαγόρȣ AB.

γον ὡς ξένος ἐπιδημῶν, ἀλλὰ τὴν οἴκησιν αὐτόθι κατακτησάμενος. ἐδίδοντο δὲ ὑπ' αὐτῶν καθ' ἕκαςον ἔτος δραχμαὶ ιβ', ὅπερ ὠνόμαςο μετοίκιον, ὡς δηλοῖ Εὔβουλος ἐν τῇ Πλαγγόνι. Ἰσαῖος δ' ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους ὑποσημαίνει ὅτι ὁ μὲν ἀνὴρ ιβ' δραχμὰς ἐτέλει μετοίκιον, ἡ δὲ γυνὴ ς', καὶ ὅτι τοῦ υἱοῦ τελοῦντος ἡ μήτηρ οὐκ ἐτέλει· μὴ τελοῦντος δ' ἐκείνου αὐτὴ τελεῖ. ὅτι δὲ καὶ οἱ δοῦλοι ἀφεθέντες ὑπὸ τῶν δεσποτῶν ἐτέλουν τὸ μετοίκιον, ἄλλοι τε τῶν κωμικῶν δεδηλώκασι καὶ Ἀριςομένης. Μένανδρος δ' ἐν Ἀνατιθεμένῃ καὶ ἐν Διδύμαις πρὸς ταῖς ιβ' δραχμαῖς καὶ τριώβολόν φησι τούτους τελεῖν, ἴσως τῷ τελώνῃ. οἱ μέντοι μὴ τιθέντες τὸ μετοίκιον μέτοικοι ἀπήγοντο πρὸς τοὺς πωλητάς, καὶ εἰ ἑάλωσαν ἐπιπράσκοντο, ὥς φησι Δημοσθένης ἐν τῷ κατ' Ἀριςογείτονος. ἐνεβίβαζον δὲ καὶ εἰς τὰς ναῦς τοὺς μετοίκους, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν Φιλιππικοῖς δηλοῖ. ἐκάλουν δὲ οἱ κωμικοὶ σκαφέας τοὺς μετοίκους, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον οὗτοι.

μετοιωνίσασθαι ἀντὶ τοῦ μεταθέσθαι τὸν φαῦλον οἰωνὸν Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους.

μετρονόμοι. ἀρχή τις Ἀθήνησιν ἐςὶν ἡ τῶν μετρονόμων, ὡς Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. ἦσαν δὲ τὸν ἀριθμὸν ιε', εἰς μὲν τὸν Πείραιᾶ ι', ε' δ' εἰς ἄςυ, εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριςοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ δηλοῖ.

μέταυλος· Λυσίας ἐν τῇ ὑπὲρ τοῦ Ἐρατοσθένους φόνου ἀπολογίᾳ. μέταυλός ἐςιν ἡ ῥυπαρὰ λεγομένη αὐλή, οὗ ὄρνιθες ἦσαν· Ἀριςοφάνης Λημνίαις καὶ Μένανδρος Θαΐδι.

Μηκύβερνα· Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου. πόλις ἐςὶν ἐν Θρᾴκῃ ςαδίους κ' ἀπέχουσα τῆς Ὀλύνθου ἡ Μηκύβερνα.

Μηλόβιος· Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους. ἔςι δὲ εἷς τῶν λ' τῶν παρ' Ἀθηναίοις τυραννησάντων.

μητρῷον· Λυκοῦργος ἐν τῷ κατ' Ἀριςογείτονος. τοὺς νόμους

3. ὠνόμαςαι BC. Πλαγγόνι Salmasius, πλαγγῶνι BC, πλαγῶνι A. 6. καὶ om B. ἡ μήτηρ] ἐκείνη C. μὴ δὲ τελοῦντος ἐκείνου B. 9. Μένανδρος δ' ἐν om BC. 11. τιμηθέντες B. 12. πωλητὰς Valesius, πολίτας ABC. 13. 1 57. 14. ὁ om B. 15. Phil. 1 36. τοὺς om B. 19. ἐςιν ἀθήνησιν B. 20. κατὰ om BC. 21. εἰς μὲν τὸν Πειραιᾶ πέντε, δέκα δ' εἰς ἄςυ Boeckhius Oec. civ. p. 52. [illegible] μὲν εἰς πειραιᾶ θ̄ δὲ εἰς ἄςυ D. 24. § 17. 26. λημνείαις AB. 30. τῶν om A. 31. νόθους ABC.

ἔθεντο ἀναγράψαντες ἐν τῷ μητρῴῳ· δηλοῖ Δείναρχος ἐν τῷ κατὰ Πυθέȣ.

Μήκων. Λυκȣ̃ργος ἐν τῷ περὶ τῆς ἱερείας "ϗ Μήκωνα τὸν γράψαντα ἕως τὰς λ' μνᾶς ἐζημίωσαν."

Μόλπις. Λυσίας ἐν τῷ περὶ τȣ̃ Διογένȣς φησὶ "Μόλπις ὁ τῶν ἐν Πειραιεῖ." οἱ δ' ἄρα μετὰ τοὺς λ' δέκα ἄνδρες ἦρχον ἐν Πειραιεῖ, ὧν εἷς ἦν ὁ Μόλπις, ὡς Ἀνδροτίων ἐν γ' Ἀτθίδος.

μόθων φλύαρος, φορτικός, ἄτιμος, αἰσχρός· λέγȣσι γὰρ τȣ̀ς Ἀθηναίȣς χειρωσαμένȣς τȣ̀ς Μόθωνας δȣλικῇ ϗ ἀγεράςῳ περιςῆσαι τύχῃ, ὅθεν ϗ Ἀττικοὶ μόθωνες. ἢ ἀπὸ Μόθωνός τινος αἰσχρὰ ποιȣ̃ντος ϗ ἀεὶ ἐν τοῖς πότοις ὀρχȣμένȣ. μόθωνας δὲ καλȣ̃σι Λάκωνες τȣ̀ς παρατρεφομένȣς τοῖς ἐλευθέροις παῖδας. ἢ ἀντὶ τȣ̃ ἀνόητος. ἄλλοι δὲ λέγȣσι δȣλοπρεπεῖς σπερμολόγȣς.

Μοιροκλῆς ὄνομα κύριον, Σαλαμίνιος, τῶν παρ' Ἀθηναίοις ȣ̓κ ἀφανῶς πολιτευσαμένων.

μοιροδοκῆσαι ἀντὶ τȣ̃ μέρȣς μεταλαβεῖν Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίȣ ἔνδειξιν ἀπολογίᾳ.

Μȣνυχία· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τόπος παραθαλάσσιος ἐν τῇ Ἀττικῇ. Ἑλλάνικος δὲ ἐν β' Ἀτθίδος ὠνομάσθαι φησὶν ἀπὸ Μȣνύχȣ τινὸς βασιλέως τȣ̃ Πανταχλέȣς.

Μȣνυχιών· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλȣ. ὁ ι' μὴν παρ' Ἀθηναίοις ȣ̃τω καλεῖται, ἐν δὲ τȣ́τῳ τῷ μηνὶ Ἀρτέμιδι θύεται Μȣνυχίᾳ.

Μȣσαῖος. Λυσίας πρὸς τὴν Μιξιδήμȣ γραφήν, εἰ γνήσιος,

1. ἀναγράψαι D. 4. ἕως τὰς] αὐτȣ̀ς Valesius. τȣ̀ς λ' μῆνας ABCO: correxit Maussacus. ἐζημίωσας BC. hunc Meconem esse puto qui proverbio dicitur Buten pinxisse, Μήκων Βȣ́την ἔγραψεν. itaque hic legendum puto Μήκωνα τὸν γράψαντα Βȣ́την οἱ τριάκοντα η μνᾶς ἐζημίωσαν. Salmasius. 5. τȣ̃ om C. 6. οἱ] ἐκ ABC. κατὰ post alios Wyttenbach. Select. hist. p. 422. ἄνδρες] ἄρχοντες A. ἦρχον] ἦσαν C. 7. πέμπτη C. 10. καὶ ἀςεράςῳ B, κἀνεράςῳ C. 12. ἀεὶ om C. ἐν] καὶ ἐν BG. τόποις O. μόθωνας — 13. παῖδας secludit Valesius. 14. δȣλοπρεπεῖς καὶ σπ. Toupius cum Hesychio. 16 — 17. om BC. 18 — 19. post 23. B, om A. 20. διογένης BC. § 107. 21. δευτέρῳ D. 22. μȣνυχίȣ ABC. πενταχλέȣς BCG. 25. ἔθυον D. 27. μιξηδήμȣ A, μαξιδήμȣ BC.

"ϰ̀ δύο παῖδας αὐτῷ ἀϰολέϑες εἶναι, ὧν ἕτος τὸν μὲν Μεσαῖον ϰαλεῖ τὸν δὲ Ἡσίοδον." ὅτι μὲν ὁ ϰρινόμενος ἐπετήδευσε τὲς οἰϰέτας ἕτω ϰαλεῖν δῆλον· περὶ δὲ Μεσαίε Ἀριϛόξενος ἐν τοῖς Πραξιδαμαντίοις φησὶν ὅτι οἱ μὲν ἐϰ Θρᾴϰης εἰρήϰασι τὸν ἄνδρα εἶναι, οἱ δὲ αὐτόχϑονα ἐξ Ἐλευσῖνος. εἰρήϰασι δὲ περὶ αὐτῦ ἄλλοι τε ϰ̀ Γλαῦϰος.

μόρων· Δημοσϑένης Φιλιππιϰοῖς. συντάγματά τινα Λαϰωνιϰὰ ἕτω ϰαλεῖται, διείλεϰ̓ δὲ περὶ τέτων Ἀριϛοτέλης ἐν τῇ Λαϰεδαιμονίων πολιτείᾳ. φησὶ δὲ ὡς εἰσὶ μόραι ἓξ ὠνομασμέναι, ϰ̀ διῄρην̓ εἰς τὰς μόρας Λαϰεδαιμόνιοι πάντες. Ξενοφῶν δὲ ἐν τῇ Λαϰώνων πολιτείᾳ φησὶν "ἑϰάϛη δὲ τῶν πολιτιϰῶν μορῶν ἔχει πολέμαρχον ἕνα, λοχαγὲς δ', πεντηϰοϛύας η', ἐνωμοτάρχας ιϛ'."

μυλωϑρὸς ὁ μύλωνα ϰεϰτημένος ϰ̀ ἐργαζόμενος αὐτῷ· Δείναρχος ἐν τῷ ϰατὰ Δημοσϑένες πολλάϰις. ἔϛι δὲ ϰ̀ παρὰ τοῖς ϰωμιϰοῖς πολὺ τὄνομα.

μύριοι ἐν Μεγάλῃ πόλει· Δημοσϑένης ἐν τῷ ϰατ' Αἰσχίνε. συνέδριόν ἐϛι ϰοινὸν Ἀρϰάδων ἁπάντων, ὃ πολλάϰις μνημονεύεσιν οἱ ἱϛοριϰοί. διείλεϰ̓ δὲ περὶ αὐτῶν ϰ̀ Ἀριϛοτέλης ἐν τῇ ϰοινῇ Ἀρϰάδων πολιτείᾳ, ἀρχόμενος τῦ βιβλίε.

Μύρτανον· Δημοσϑένης ὑπὲρ Κτησιφῶντος. φρέριον ἦν ἐν Θρᾴϰῃ, ὡς Μαρσύας ὁ πρεσβύτερος ἐν ζ' Μαϰεδονιϰῶν ϰαὶ Ἀναξιμένης ἐν Φιλιππιϰῷ.

Μύρτις. Δημοσϑένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ϰαταλέγων τὲς προδεδωϰότας ἑϰάϛην πόλιν φησὶν "Ἀργείες Μύρτις Τελέδαμος Μνασέας." Θεόπομπος δ' ἐν τῇ να' Πασέαν ϰ̀ Ἀμυρ-

1. μὲν om B. 2. ὁ ϰρινόμενος om pr B. 3. ἕτω ϰαλεῖν om C. 4. ἐν τοῖς Πραξιδαμαντίοις om BC. οἱ om C. 6. γλαῦϰος ὁ μόρων δημ. A. 7. μώρων δημ. ἐν φιλιππιϰοῖς D. μόραν est de syntaxi 22. quod reponendum. 8. Λαϰ.] ἀϑηναίων BC. 9. μοῖραι A, μοῖρα BCG. ἐξωνομασμέναι C, ἐξωνομασμένα BG. 10. ϰαὶ διῄρηνται] διῄρηνται δὲ BCG. μοίρας codices. 11. Λ.] ἀϑηναίων C. 11 4. ἑϰύϛω ABC. 12. φύλαρχον B. 13. ἐννομοτάρχας BD, ἐνομοτάρχας C. ια' C. 14. αὐτῷ] ἐν αὐτῷ D. Δείν. — 16.] ἔϛι ϰαὶ τὄνομα παρὰ ϰαλλισϑένει ϰαὶ παρὰ τοῖς ἀττιϰοῖς πολλάϰις BCG. 15. ϰατὰ om A. 17. de FL 11. 19. δὲ] δὲ ϰαὶ BCG. 21. μυρτώνιον D, μόρτανον C. § 27. 22. πρεσβύτης AC. ζ^ω C. 23. Φιλιππιϰοῖς? an Φιλιππιϰῶν, ut exciderit numerus. 24. § 295. 26. μνασαίας D, μνασίας C. να'] ᾱ A.

ταῖον ὀνομάζει τῶν Ἀργείων τὲς μακεδονίζοντας. ἰδεῖν ἔν εἰ γραφικά ἐςιν ἁμαρτήματα.

Μυσῶν λείαν· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. παροιμία τίς ἐςιν ἔτω λεγομένη, ἥν φησι Δήμων ἐν μ' περὶ παροιμιῶν τὴν ἀρχὴν λαβεῖν ἀπὸ τῶν καταδραμόντων ἀςυγειτόνων τε ϗ λῃςῶν τὴν Μυσίαν κατὰ τὴν Τηλέφε τε βασιλέως ἀποδημίαν. κέχρηνϑ δὲ τῇ παροιμίᾳ ἄλλοι τε ϗ Στράττις ἐν Μηδείᾳ ϗ Σιμωνίδης ἐν ἰάμβοις.

Ναῒς ἑταίρα τις· Λυσίας ἐν τῷ κατὰ Φιλωνίδε, εἰ γνήσιος, ϗ Ἀριςοφάνης Γηρυτάδῃ. μήποτε δὲ ϗ ἐν τῷ Πλάτῳ, ὅπε φησὶν ὁ κωμικὸς "ἐρᾷ δὲ Λαῒς ἐ διὰ σὲ Φιλωνίδε," γραπτέον ἦν διὰ τε ν Ναῒς διὰ τὸν Φιλωνίδην.

Νάννιον· Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέες, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ ἑταιρῶν Αἶγα λέγεσθαί φησι ταύτην τὴν ἑταίραν διὰ τὸ Θαλλὸν τὸν κάπηλον καταφαγεῖν· ὅτι γὰρ θαλλῷ χαίρεσιν αἱ αἶγες, ϗ Σοφοκλῆς Ποιμέσιν "ἑωθινὸς γάρ, πρίν τιν' αὐλητῶν ὁρᾶν, θαλλὸν χιμαίραις προσφέρων νεοσπάδα, εἶδον ςρατὸν ςείχοντα παραλίαν ἄκραν." ἔςι δὲ αὐτῆς μνήμη ϗ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης δὲ ὁ νεώτερος ἐν τῷ περὶ ἑταιρῶν τὴν Νάννιόν φησι Προσκήνιον ἐπονομάζεσθαι διὰ τὸ ἔξωθεν δοκεῖν εὐμορφοτέραν εἶναι.

ναύκληρος. Ὑπερίδης ἐν τῷ περὶ τε ταρίχες ἐ μόνον ὡς ἡ συνήθεια χρῆται τῷ ὀνόματι, ἀλλὰ ϗ ἐπὶ τε μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας ἢ συνοικίας, ὡς ὁ αὐτὸς ῥήτωρ δηλοῖ ἐν τῷ πρὸς Ἀριςογείτονα ϗ Σαννυρίων Γέλωτι ϗ Δίφιλος Ἐμπόρῳ.

ναυκραρικά· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτες. μήποτε

1. *εἰ δεῖν* A. 2. *ἁμαρτήματα ἐςί* AB. 3. *ἐν τῷ* om A. § 72. 4. *ἐςιν* om A. *δημοφῶν* C cum Phavorino. *μ'*] *α* B, *α*^{ω} CG. *περὶ* om C. 6. *μετὰ* C. *τὴν*] *τὴν τε* A. 7. *ἀποδημίαν* :– B. 9. *ἑτέρα* A. 10. v. 179. 11. *ἤχὶ* ABC. 12. *Ναῒς* post *Φιλωνίδην* BC, om G. 13. *νάνινον* B. *Ὑπερίδης*] *λυσίας* C. *πατροκλέα* C. 14. *τῇ* B. post *περὶ* cum D omisi *τῶν*. 15. *τὸν* C. 16. *πύλεσιν* AC, *πύλαισιν* B. 17. *αὐλιτῶν*? *χίλια* A, *χιλίαις* BCG. *νεόπαιδα* ABCG: cf. Athenaeus p. 587 a. 18. *εἶδος* B. *παρ' ἅλιαν* C. *ἔτι* B. 19. *καὶ* om BC. *περὶ τῶν ἑτ.* A. 20. *νεάνιον* BC. *προσκίνιον* A, *προσκύνιον* BC. *ὀνομάζεσθαι* BC. 23. *μισθωμένε* C. 24. *τὸ* D, *τῶν* B. *τὰ ἐνοίκια*] *ἐν οἰκίᾳ* BC. *ὁ* om B. 25. *φησὶν* C. *σαννιρίων* ABC. 26. *δίφιλος* A. *ἐν πόρῳ* AC, *ἐν πόρρω* B. 27. *ναυκαρία* D, *ναυκρατικὰ* C. § 11.

βέλτιον φέρεθ᾽ ἐν τοῖς Ἀττικιανοῖς ναυκρατιτικά, ἵν᾽ ᾖ ἀπὸ Ναυκρατιτικȣ̃ πλοίȣ ἢ Ναυκρατιτῶν ἐμπλεόντων· ἡ γὰρ Ναύκρατις τὸ παλαιὸν ἐμπόριον ἦν τῆς Αἰγύπτȣ. ἐὰν δὲ ᾖ ναυκραρικά, εἴη ἂν τὰ τῶν ἀρχόντων· ναυκράρȣς γὰρ τὸ παλαιὸν τȣ̀ς ἄρχοντας ἔλεγον, ὡς καὶ ἐν τῇ ε΄ Ἡρόδοτος δηλοῖ. Ἀριστοτέλης δ᾽ ἐν Ἀθηναίων πολιτείᾳ φησὶ "κατέστησαν δὲ δημάρχȣς τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις, δημίȣς ἀντὶ τῶν ναυκράρων ἐποίησαν."

ναυτοδίκαι· Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην, εἰ γνήσιος ὁ λόγος. ἀρχή τις ἦν Ἀθήνησιν οἱ ναυτοδίκαι· Κρατερὸς γȣ̃ν ἐν τῷ δ΄ τῶν Ψηφισμάτων φησὶν "ἐὰν δέ τις ἐξ ἀμφοῖν ξένοιν γεγονὼς φρατρίζῃ, διώκειν εἶναι τῷ βȣλομένῳ Ἀθηναίων, οἷς δίκαι εἰσί, λαγχάνειν δὲ τῇ ἕνῃ καὶ νέᾳ πρὸς τȣ̀ς ναυτοδίκας." Ἀριστοφάνης Δαιταλεῦσιν "ἐθέλω βάψας πρὸς ναυτοδίκας ξένην ἐξαίφνης."

νεαλής· Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριστογείτονος, εἰ γνήσιος. ὁ νεωστὶ ἑαλωκὼς ȣ̈τως ἐλέγετο κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ἰχθύων.

νεβρίζων· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. οἱ μὲν ὡς τȣ̃ τελȣ̃ντος νεβρίδα ἐνημμένȣ ἢ καὶ τȣ̀ς τελȣμένȣς διαζωννύντος νεβρίσιν, οἱ δὲ ἐπὶ τȣ̃ νεβρȣ̀ς ἐκδιασπᾶν κατά τινα ἄρρητον λόγον. ἔστι δὲ ὁ νεβρισμὸς καὶ παρὰ Ἀριγνώτῃ ἐν τῷ περὶ τελετῶν.

νεήλατα Δημοσθένης ὑπὲρ Κτησιφῶντος κατ᾽ ἔλλειψιν ἀντὶ τȣ̃ νεήλατα ἄλφιτα, τὰ νεωστὶ ἀληλεσμένα, ἃ δὴ μέλιτι ἀναδεύοντες, ἀσταφίδας τε καὶ χλωρȣ̀ς ἐρεβίνθȣς ἐπεμβάλλοντες,

1. ἐν N: vulgo ἐπί. ναυκρατητικὰ A, ναυκρατικὰ BCG. 2. ναυκρατητικȣ̃ AN, ναυκρατικȣ̃ BC. ναυκρατητῶν AN, ναυκρατικῶν (τ) B. 5. καὶ om B. ε΄] ιε vel ιε^η ABCD. est 5 71. Ἀριστοτέλης — 6. φησὶ om BC. 7. προτέροις C. 8. δημαίȣς A i. e. δημάρχȣς. sed totum hoc δημίȣς — ἐποίησαν male abundat, nisi cum Dobraeo p. 588 legas δήμȣς ἀντὶ ναυκραριῶν ποιήσαντες. 10. ἦν om B. καρτερὸς AD. 11. τῷ om BC. δ^η C. ἐξ] μὴ ἐξ A, unde Meierus (de bon. damn. p. 95) μὴ ἐξ ἀμφοῖν ἀστοῖν γεγονώς. 12. εἶναι om A. οἷς δίκαι εἰσί] οἷς ἔξεστιν, ἐν τοῖς ναυτοδίκαις· οἷς δὲ δίκαι εἰσὶ πρὸς τȣ̀ς ξένȣς (ἐμπόρȣς) Meierus. 13. λαγχάνῃ C. τῇ] ἐν τῇ BC. 14. βλάψας BC. 16. 1 61. 19. § 259. 20. διαζωννύων C. 21. οἱ δὲ add N. τὸ D. διασπᾶν N. 22. περὶ τῶν τ. A. 24. § 260. 25. τὰ om BC. δὴ] δὴ καὶ B. 26. ἐπεμβαλόντες A.

τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμον. ἐκάλουν δὲ αὐτὰ οἱ μὲν ἀμβροσίαν οἱ δὲ μακαρίαν.

Νεμέας Χαράδρα· Αἰσχίνης περὶ τῆς πρεσβείας. οὕτω τόπος τις ἐκαλεῖτο ἐν Πελοποννήσῳ· "πλησίον τῆς Νεμέας Χαράδρας" Ἔφορος ἐν κγʹ. Νεμέας αὐλητρίδος μνημονεύει Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. ὁ δὲ Πολέμων ἐν τοῖς περὶ τῆς ἀκροπόλεως παρατίθεται ψήφισμα καθ' ὃ ἀπείρητο Ἀθήνησιν ὄνομα πεντετηρίδος τίθεσθαι δούλῃ ἢ ἀπελευθέρᾳ ἢ πόρνῃ ἢ αὐλητρίδι· ἄξιον οὖν ἀπορῆσαι πῶς οὕτως ὠνομάζετο ἡ αὐλητρίς.

Νεμέσεια· Δημοσθένης ἐν τῷ κατὰ Σπουδίου. μήποτε ἑορτή τις ἦν Νεμέσεως, καθ' ἣν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα.

Νεών· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. περὶ τῆς πρὸς Φίλιππον τούτου φιλίας Θεόπομπος ἐν βʹ Φιλιππικῶν ἱστορεῖ.

νεώρια καὶ νεώσοικοι. μήποτε νεώρια λέγεται ὁ τόπος ἅπας εἰς ὃν ἀνέλκονται αἱ τριήρεις καὶ πάλιν ἐξ αὐτοῦ καθέλκονται, ὡς ὑποσημαίνουσι Λυκοῦργός τε ἐν ἀπολογισμῷ ὧν πεπολίτευται καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος ὁ λόγος.

Νεῶσι· Δημοσθένης κατ' Αἰσχίνου. πόλις ἐστὶν ἐν τῇ Φωκίδι, ἣν Ἡρόδοτος μὲν ἐν ηʹ Νεῶνα ὀνομάζει, Ἀνδροτίων δ' ἐν ϛʹ Ἀτθίδος Νεῶνας.

Νίκαια· Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ἔστι δὲ πόλις τῆς Λοκρίδος ἐπιθαλαττίδιος.

Νικάνωρ· Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους. τρεῖς γεγόνασι Νικάνορες, ὁ μὲν υἱὸς Βαλάκρου, ἕτερος δὲ Παρμενίωνος υἱός, ἄλλος δὲ Σταγειρίτης τὸ γένος, οὗ μνημονεύοι ἂν νῦν ὁ ῥήτωρ.

Νίκη Ἀθηνᾶ· Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ὅτι δὲ Νίκης Ἀθηνᾶς ξόανον ἄπτερον, ἔχον ἐν μὲν τῇ δεξιᾷ ῥόαν ἐν δὲ τῇ εὐωνύμῳ κράνος, ἐτιμᾶτο παρ' Ἀθηναίοις, δεδήλωκεν Ἡλιόδωρος ὁ περιηγητὴς ἐν αʹ περὶ ἀκροπόλεως.

3. παραπρεσβείας C. § 168. 5. μνημονεύει Ὑπερίδης] δημοσθένης C. 11. νεμέσια B, νεμέσεα C. 14. νεώνη Salmasius. § 295. 15. τοῦτον A, om C. β^ω C. 16. ὁ om B. 18. τε om BC. 19. τῆς om A. 20. νεῶσι ACG. Δημοσθένης κατ' Αἰσχίνου om BC. § 148. ἐστὶν] δὲ C. τρωάδι B. 22. post Νεῶνας B δημοσθένης ἐν τῷ κατ' αἰσχίνου. 23. παρὰ D. § 132. 26. υἱός om D. 27. μνημονεύει νῦν C. 28. δὲ add D. 29. μὲν τῇ om pr B. ῥοιὰν C. 30. κράτος BCDN. ἐτιμᾶτο] ἐτιμᾶτο. ὅτι δὲ ἐτιμᾶτο ABC. παρὰ τοῖς ἀθ. N. 31. πρώτω D. περὶ om ABC.

νοθεῖα. τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα ὅτω καλεῖται, ἦν δὲ μέχρι χιλίων δραχμῶν· Λυσίας ἐν τῷ πρὸς Καλλιφάνη ξενίας, εἰ γνήσιος, Ἰσαῖος πρὸς Λυσίβιον περὶ ἐπικλήρε. Ἀριςοφάνης Ὄρνισι "τί δ' ἦν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα τὰ νοθεῖ' ἀποθνήσκων; ὁ νόμος αὐτὸν ὀκ ἐᾷ." τίνων δ' ὀκ ἐξῆν τοῖς νόθοις μετέχειν, δεδήλωκεν Ὑπερίδης τε ἐν τῷ κατ' Ἀριςαγόρας β'. Δημοσθένης δ' ἐν τῷ κατ' Ἀριςοκράτες φησὶν ὡς ἐς τὸ Κυνόσαργες ἐτέλεν.

νομοφύλακες. ἀρχή τις παρ' Ἀθηναίοις ὅτως ἐκαλεῖτο, διαφέρεσα τῶν θεσμοθετῶν· Δείναρχος καθ' Ἱμεραίε καὶ ἐν τῷ κατὰ Πυθέε. Φιλόχορος δὲ ἐν τῷ ζ' ἄλλα τέ τινα διεξῆλθε περὶ αὐτῶν, καὶ ὅτι ὅτοι τὰς ἀρχὰς ἐπηνάγκαζον τοῖς νόμοις χρῆσθαι.

Νότιον· Λυσίας κατὰ Μαντίε. ὅτι δέ ἐςι χωρίον προκείμενον τῆς Κολοφωνίων πόλεως, Θεόπομπος ἐν τῇ ιε' φησίν.

Νύμφαιον. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντός φησι "Νύμφαιόν τε ἐν Πόντῳ." Κρατερὸς δὲ ἐν θ' τῶν Ψηφισμάτων φησὶν ὅτι Ἀθηναίοις τὸ Νύμφαιον ἐτέλει τάλαντον.

ξενίζειν· Δημοσθένης ἐν τῇ πρὸς Εὐβελίδην. ἐφέσει πολλάκις. ἔνιοι μὲν οἷον ξένῃ διαλέκτῳ χρῆσθαι, τάχα δ' ἂν εἴη μᾶλλον τὸ ἐν τῇ ξένῃ διατρίβειν.

ξενικὸν ἐν Κορίνθῳ· Δημοσθένης Φιλιππικοῖς καὶ Ἀριςοφάνης Πλέτῳ. συνεςήσατο δ' αὐτὸ πρῶτον Κόνων, παρέλαβε δ' αὐτὸ Ἰφικράτης ὕςερον καὶ Χαβρίας· ᾧ χρησάμενοι τὴν Λακεδαιμονίων μόραν κατέκοψαν ςρατηγῦντος αὐτοῖς Ἰφικράτες καὶ Καλλίε, καθά φησιν Ἀνδροτίων τε καὶ Φιλόχορος.

ξενιτευομένες ἀντὶ τῦ μισθοφορῦντας, ξένοι δὲ οἱ μισθοφόροι· Ἰσοκράτης Φιλίππῳ κἂν τινι τῶν πρὸς Φίλιππον ἐπιςολῶν. Ἀντιφάνης Εὐθυδίκῳ "ἐγὼ ξενιτευόμενος ἐςρατευόμην."

2. καλλιφάνες BC. 3. γνήσιος :– C. Ἰσαῖος om in lacuna AB, add Maussacus. 4. v. 1655. 7. § 213 extr. 8. καὶ εἰς τὸ Valesius. 10. ἡμεραίε AC, ἡμερίε B. 11. δὲ add CN. 12. ὅτι om BC. 13. χρῆσθαι] χρῆσθαι δῆλον AB. 14. δέ add BC. 15. ἐν πέμπτῃ A. 16. § 171. 17. τε] δὲ C. immo τὸ. ἐν τῷ πόντω AB. θ^ω C. 18. τὸ τάλαντον A. 19. ξενίζειν οἱ μὲν ξένῃ διαλέκτῳ χρῆσθαι, οἱ δὲ ἐν τῇ ξένῃ διατρίβειν :– D. § 18 et 19. 20. ἔνιοι μὲν om pr B. τάχα Valesius, τἄλλα codices. 22. ἐν φ. D. Phil. 1 23. 23. v. 173. 25. μοῖραν codices. 26. καλλικλέεν D. τε om C. φιλόχορες A. 27. μισθοφορημένες C. 28. φιλιππικῷ codices. § 122. 2 10. 29. ἀντιφάνης δ' εὐθ. C.

ξηραλοιφεῖν· Αἰσχίνης κατὰ Τιμάρχου. ξηραλοιφεῖν ἔλεγον τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι, ὡς Δίδυμος ἐν κη΄ Τραγικῆς λέξεως ϗ Νίκανδρος ἐν ιη΄ Ἀττικῆς διαλέκτου, προστιθεὶς ὅτι μήποτε ϗ τὸ ὑπὸ τῶν ἀλειπτῶν λεγόμενον ξηροτρίβεσθαι οὕτως ἐλέγετο. Σοφοκλῆς Πηλεῖ "ϗ ξηραλοιφῶν εἵματος διὰ πτυχῶν."

Ξυπεταίονες· Ὑπερίδης κατ' Ἀρχεστρατίδου. δῆμος τῆς Κεκροπίδος Ξυπέτη, ἀφ' ἧς ὁ δημότης Ξυπεταίων, ὡς Διόδωρος.

ξυστίς· Λυσίας ἐν τῷ πρὸς Νικόδημον ϗ Κριτόβουλον. γυναικεῖόν τι ἔνδυμά ἐστιν ἡ ξυστὶς πεποικιλμένον, ὡς δῆλον ποιοῦσιν ἄλλοι τε τῶν κωμικῶν ϗ Ἀντιφάνης ἐν Εὐπλοίᾳ "ὥσπερ ξυστίδα ὥσπερ τὸ ποικίλως ὑφασμένον." ἔστι μὲν ϗ τραγικόν τι ἔνδυμα οὕτω καλούμενον, ὡς Κρατῖνος ἐν Ὥραις, ἔστι δὲ ϗ ἱππικὸν ἔνδυμα, ὡς Ἀριστοφάνης Νεφέλαις.

ὀβολοστατεῖ ἀντὶ τοῦ δανείζει Λυσίας ἐν τῷ κατὰ Νικίδου, εἰ γνήσιος. ἐν δὲ τῷ πρὸς Λακράτην διασαφῶν φησὶν "οὐδ' ἂν εἰ πολὺ ἐλάττονα τόκον λογίσαιτό τις ἢ ὅσον οὗτοι οἱ ὀβολοστατοῦντες τοὺς ἄλλους πράττονται." ὀβολοστάτας δ' ἔλεγον τοὺς δανειστάς, ὡς παρά τε Ὑπερίδῃ ἐν τῷ κατὰ Πολυεύκτου ϗ πολλάκις ἐν τῇ κωμῳδίᾳ.

ὁδός. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους φησὶν "ἢ ἐν ὁδῷ καθελών" ἀντὶ τοῦ ἐν λόχῳ ϗ ἐνέδρᾳ. τοιοῦτον δὲ εἶναι ϗ τὸ Ὁμηρικόν φασιν "ἢ ὁδὸν ἐλθέμεναι." εἰ δὲ ψιλωθείη ἡ προτέρα, σημαίνει τὸν βαθμόν, ὡς παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Φιλίππου, εἰ γνήσιος ὁ λόγος.

ὀθνεῖος Ἰσαῖος ἐν τῷ κατὰ Στρατοκλέους ἀντὶ τοῦ ἀλλότριος, ὡς ϗ παρὰ Πλάτωνι ἐν α΄ Νόμων.

Οἴηθεν· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. δῆμος τῆς Πανδιονίδος ἡ Οἴη, ὡς Διόδωρος· Οἴηθεν δὲ ἀπὸ τόπου ἐπίρρημα.

1, § 138. ἔλεγον τὸ D: ceteri ἐλέγετο. 3. ὅτι om CN. 4. ξηροτρίβεσθαι] v. Lobeck. Phrynich. p. 572. 5. πῆλε AB. 6. ξυπεταιῶνες D, ξυπεταίων C, ξυπετάλων B. ἀρχιστρατίδου B. 7. ξυπέται D. ἀφ' οὗ? ξυπαιταιὼν D, ξυπετάλων B. 8. δημόνικον C. 9. ἐστί τι ἔνδυμα C. ξεστὶς A. 10. post Εὐπλοίᾳ hiat B. 11. ποικίλον ἠμφιεσμένον A. cum legeretur ὥσπερ ξυστίδα ἔνδυμα τῷ ποικίλον ἠμφιεσμένον, Salmasius ἔνδυμά τι ποικιλτὸν malebat. μὲν] δὲ C. 13. ἐν φίλαις D, ἐν φιάλαις A, ἐν φυάλαις BC: correxit Valesius. 14. ὀβολοστρατεῖ C. idem 16. ὀβολοστρατοῦντες. 14. κατὰ om BC. νικίου C. 16. οἱ add BC. 20. § 53. 21. τὸν B. 22. Il. 1 151. ἢ ὁδὸν ἐλθέμεναι om C. 26. ἐν] ἐν τῷ BC. τῶν νόμων B. 27. ἐν τόπω A.

ιλόχορος δ' ἐν τῇ γ' τὴν. Οἴην Κεφάλε μὲν θυγατέρα Χά-ιπος δὲ γυναῖκα ἱςορεῖ.

έως. Λυσίας ἐν τῷ κατὰ Θεομνήςε ἐξηγέμενος ὥσπερ τὸ ομα φησὶ "τὸ δὲ οἰκέως θεράποντος."

ημα ἀντὶ τε δεσμωτήριον Δείναρχος ἐν Τυρρηνικῷ κ ἐν ι κατὰ Ποσειδίππε, ἀντὶ δὲ τε πορνεῖον Αἰσχίνης ἐν τῷ τὰ Τιμάρχε.

σκῳ ἀντὶ τε μικρῷ τινὶ οἰκήματι Δημοσθένης ἐν τῷ ὑπὲρ τησιφῶντος. ἐκάλεν δὲ οἱ 'Αττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον νιθοτροφεῖον οἰκίσκον· 'Αριςοφάνης Πελαργοῖς, Μεταγένης ὕραις. ἐκ τέτων δ' ἔοικε πλανώμενος ὁ Δίδυμος κ τὸ Δη-ισθενικὸν ἐξηγεῖσθαι.

ηῖς· 'Υπερίδης ἐν τῷ πρὸς 'Αριςογείτονα. μία τῶν ι' φυ-ὶν παρ' 'Αθηναίοις.

όη κ Οἰναῖος. 'Υπερίδης ἐν τῷ πρὸς 'Αριςογείτονα "καὶ ασὰν ἐν Οἰνόῃ ἀκεσαι ὅτι μάχη εἴη γεγοννῖα." Οἰνόη δῆ-ς τῆς 'Ιπποθοωντίδος πρὸς 'Ελευθέραις, ὁ δὲ τῆς Αἰαντί-ς πρὸς Μαραθῶνι· ἀφ' ἑκατέρε δὲ τῶν δήμων ὁ δημότης 'ναῖος καλεῖται. μνημονεύοι δ' ἂν νῦν ὁ ῥήτωρ τε πρὸς λευθέραις, ὃ κ Θεκυδίδης ἐν τῇ β'.

ν· 'Ισαῖος ἐν τῷ περὶ τῆς ποιήσεως. δῆμοί εἰσιν ἐν τῇ 'Ατ-ιῇ διττοὶ ἑδετέρως λεγόμενοι, καλεῖσθαι δὲ Οἶον. κεκλῆσθαί ισιν οὕτω Φιλόχορος ἐν τῇ ιγ' διὰ τὸ μηδαμῶς οἰκητὸν πον ἔχειν ἀλλὰ μεμονῶσθαι· τὸ γὰρ μόνον οἶον ἐκάλεν οἱ ἀρ-ῖοι. ἔςι δὲ τὸ μὲν Κεραμεικὸν Οἶον τῆς Λεοντίδος φυλῆς, δὲ Δεκελεικὸν τῆς 'Ιπποθοωντίδος, ὡς Διόδωρος. οἱ δὲ δη-θ ἑκατέρωθεν ἐλέγοντο ἐξ Οἴε, ἄλλοι δ' ἦσαν οἱ λεγόμενοι 'ηθεν, ὡς προείρηται.

1. χαροπε D. 3. οἰκέας BC. 1 19. sed BC θεοπόμπω. ερ om C. 4. τὸ δὲ] τόδε A. οἰκέος BC. 5. ἐν om pr B. ιννικῷ ABC: correxit Valesius. 6. ποσιδίππε BC. 8. οἰκήματι] Α. ἐν τῷ om AB. § 97. 11. καὶ om C. 13. ι' om φυλακῶν C. 14. post 'Αθηναίοις cum D omisi ἦν. 15. οἰνόη ναίη A, οἰναιὴ BC. cf. Boeckh. ad Inscript. 105 et 172 (p. 309 b). οἰ-ι. καὶ om B. 16. ἐν οἰνέῃ A, ἐν οἰναίῃ BC. 17. ὁ δὲ] ερος D. ἀντίδος B. 18. μαραθώνην B, μαραθῶνα C. ιn BC. 20. τῇ om C. c. 18. 21 et 22 et 24 et 25. οἶον AB. τῆς om C. ἀττικοὶ N. 22. καλεῦνται δὲ delet Valesius, om cum ipso D. κεκλῆσθαι δὲ ἕτω φησὶν ὁ N, καλεῖσθαι δέ φησιν D. 23. τῇ C. ιγ ω C. ἐδαμῶς B. οἴκη τὸν D, οἰκιςὸν BCG, εὐοί- A. 25. δὲ om BC. κεραμικὸν C. 26. φιλόχορος pr B.

οἷος εἶ ϗ *οἷός τε εἶ.* τὸ μὲν χωρὶς τȣ̃ τέ σημαίνει τὸ βȣ́λει ϗ προῄρησαι, τὸ δὲ σὺν τῷ τέ τὸ δύνασαι. ἀμφοτέροις ἐχρήσατο Λυσίας ἐν τῷ κατὰ Λυσιθέȣ, εἰ γνήσιος.

Οἰσύμη· Ἀντιφῶν ἐν τῷ κατὰ Λαισποδίȣ. πόλις ἐϛὶ τῆς Θρᾴκης, καθά φασιν ἄλλοι τε ϗ Ἔφορος ἐν δ'.

ὅτι διαμαρτάνει Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας λέγων Πλαταιέας γεγράφθαι ἐν τῇ Ποικίλῃ ϛοᾷ· ȣ̓δεὶς γ. τȣ̃το εἴρηκεν, ὥσπερ ȣ̓δὲ Κρατερὸς ἐν τῇ τῶν ψηφισμάτων συναγωγῇ.

ὁ κάτωθεν νόμος· Δημοσθένης ἐν τῷ κατ' Ἀριϛοκράτȣς. Δίδυμος "ἤτοι" φησὶ "τὴν ἡλιαίαν λέγει ὁ ῥήτωρ διὰ τὸ τῶν δικαϛηρίων τὰ μὲν ἄνω τὰ δὲ κάτω ὀνομάζεσθαι, ἢ διὰ τὸ σχῆμα τῆς ἐν τοῖς ἄξοσι γραφῆς βȣϛροφηδὸν γεγραμμένης τὸν ἀπὸ τῶν εὐωνύμων ἀρχόμενον νόμον κάτωθεν ὀνομάζει ὁ Δημοσθένης· ὅτι γάρ" φησι "βȣϛροφηδὸν ἦσαν οἱ ἄξονες ϗ οἱ κύρβεις γεγραμμένοι, δεδήλωκεν Εὐφορίων ἐν τῷ Ἀπολλοδώρῳ. ἢ ἐπεί" φησι "τȣ̀ς ἄξονας ϗ τȣ̀ς κύρβεις ἄνωθεν ἐκ τῆς ἀκροπόλεως εἰς τὸ βȣλευτήριον ϗ τὴν ἀγορὰν μετέϛησεν Ἐφιάλτης, ὥς φησιν Ἀναξιμένης ἐν Φιλιππικοῖς."

ὅτι ἑξακισχίλια ἦν τάλαντα τὸ τίμημα τῆς Ἀττικῆς. Δημοσθένης ἐν τῷ περὶ συμμοριῶν φησὶν ȣ̓́τως "ἡμῖν δὲ τὸ τῆς χώρας τίμημα ὑπάρχειν ἀφορμὴν ὀκτακισχίλια τάλαντα ἀκȣ́σεσθ." ἤτοι ȣ̓̃ν γραφικὸν ἁμάρτημά ἐϛιν, ἢ ἴσως ὁ ῥήτωρ συναρπάζει, ἵνα δοκῇ πλείω τὴν ἀφορμὴν ἔχειν ἡ πόλις εἰς τὸν πρὸς βασιλέα πόλεμον: ὅτι γ. ἑξακισχίλια τάλαντα ἦν τὸ τίμημα τῆς Ἀττικῆς, ϗ λυθέντος ἐν τοῖς ἑξῆς τȣ̃ λόγȣ φησίν, λογισμὸν αὐτῶν διδȣ̀ς ποικίλως, ϗ Φιλόχορος ἐν ι' Ἀτθίδος.

ὀλιγωρήσετε ἀντὶ τȣ̃ ἀμελήσετε Δημοσθένης Φιλιππικοῖς. ὀλιγωρεῖν γ. λέγεσθ τὸ ὀλίγην ὥραν ἔχειν· ἔϛι δὲ τὸ μὲν ὀλίγην ἀντὶ τȣ̃ ȣ̓δὲ ὀλίγην, ὡς ἐν τῷ "ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς," ὥρα δ' ἐϛὶν ἡ φροντίς.

1. βȣ́λει καὶ προείρηται AN, βȣ́λεσθαι καὶ προαιρεῖσθαι BCG. 2. δύνασθαι ABCN. 3. γ.] γ. ὁ λόγος A. 4. λαισποδίȣ C, λεσποδίȣ A. 6. πλαταιέας N, πλαταιαῖς AC, πλατεαῖς B. 9. § 28. 12. ante τὸν Valesio auctore omisi ἢ vel ἦ. 13. ὁ om B. 16. ἐπειδή N. ἐκ add D. 18. φιλιππικοῖς D: vulgo φιλιππικῷ. 19. ὅτι τὸ τίμημα τῆς ἀττικῆς ἑξακισχίλια ἦν τάλαντα C. 20. περὶ] περὶ τῶν AN, ὑπὲρ τῶν B, ὑπὲρ C. § 30. φησιν δηλοῖ B. 21. ω N. 22. ἤ τι B. 23. εἰς τὸν om C. 25. καὶ λυθέντος] λεληθότως N. 26. αὐτοῖς διδȣ̀ς ποικίλον BC. 27. Δημ. Φιλ. om C. Olynth. 1 17. 28. ἔϛι δὲ] καὶ ἔϛι C, ἔϛι B. 29. Il. 5 800. 30. ἐϛὶν om D.

ὁλοχοίνους· Αἰσχίνης ἐν τῷ περὶ πρεσβείας. Θεόφραστος δ' ἐν δ' περὶ φυτῶν, εἰπὼν τοῦ χοίνου τρία εἴδη εἶναι, φησὶν ὡς ὁ τρίτος μεγέθει ϗ εὐσαρκίᾳ διαφέρων ὁλόχοινος καλεῖται.

ὁμηρεύοντας Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἐπὶ τῶν ἀναπεμφθέντων Λακεδαιμονίων Ἀλεξάνδρῳ. Κλείταρχος δέ φησιν ἐν τῇ ε' εἶναι τοὺς δοθέντας παρὰ τῶν Λακεδαιμονίων ὁμήρους. ὅμηροι δέ εἰσιν οἱ ἐπὶ συμβάσει διδόμενοι· ὁμηρῆσαι γὰρ τὸ συμβαλεῖν· Ὅμηρος "ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ἐλθών." Θεόπομπος δὲ ὁμηρεῖν φησὶ παρὰ τοῖς ἀρχαίοις λέγεσθαι τὸ ἀκολουθεῖν· τοὺς οὖν ἐπ' ἀκολουθίᾳ τῶν ὁμολογουμένων διδομένους ἐντεῦθεν ὁμήρους φησὶ λέγεσθαι.

Ὁμηρίδαι· Ἰσοκράτης Ἑλένῃ. Ὁμηρίδαι γένος ἐν Χίῳ, ὅπερ Ἀκουσίλαος ἐν γ', Ἑλλάνικος ἐν τῇ Ἀτλαντιάδι ἀπὸ τοῦ ποιητοῦ φησὶν ὠνομάσθαι. Σέλευκος δὲ ἐν β' περὶ βίων ἁμαρτάνειν φησὶ Κράτητα νομίζοντα ἐν ταῖς ἱεροποιίαις Ὁμηρίδας ἀπογόνους εἶναι τοῦ ποιητοῦ· ὠνομάσθησαν γὰρ ἀπὸ τῶν ὁμήρων, ἐπεὶ αἱ γυναῖκές ποτε τῶν Χίων ἐν Διονυσίοις παραφρονήσασαι εἰς μάχην ἦλθον τοῖς ἀνδράσι, ϗ δόντες ἀλλήλοις ὅμηρα νυμφίους ϗ νύμφας ἐπαύσαντο, ὧν τοὺς ἀπογόνους Ὁμηρίδας λέγουσιν.

ὁμόερκές Δείναρχος ἐν τῷ πρὸς τὴν Καλλίππου παραγραφὴν ἀντὶ τοῦ ὑφ' ἓν ἕρκος, τουτέστιν ὑπὸ τὸν αὐτὸν περίβολον.

ὁμόσε ἰέναι. Ὑπερίδης ἐν τῷ κατ' Ἀθηνογένους φησὶν "ἀλλὰ ὁμόσε βούλομαι τῷ λόγῳ τούτῳ ἐλθεῖν" ἀντὶ τοῦ παραβαλέσθαι. λέγεται δὲ ἐκ μεταφορᾶς τοῦ ὁμόσε ταῖς λόγχαις ἰέναι, ἀντὶ τοῦ ἐξ ἐναντίας εἰς τὸ αὐτὸ ἔρχεσθαι ϗ μὴ στρέφεσθαι μηδὲ φεύγειν.

ὁμοῦ. Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονός φησιν "εἰσὶν ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι" ἀντὶ τοῦ ἐγγύς. ἔστι δὲ πολὺ παρ' Ἀττικοῖς. ϗ Μένανδρός που "ἤδη γάρ ἐστι τοῦ τίκτειν ὁμοῦ."

Ὀνήτωρ· Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. πρὸς τοῦτον

1. ὁλοεχίνους et 2. ἐχίνου ABC: correxit Maussacus. § 21. δ' om BC. 2. c. 12 1 Schn. φυτῶν] αὐτῶν ABC: correxit Maussacus. ὡς] codices ὧν. 3. ante μεγέθει cum D omisi τῷ. ὁλοέχινος AB. 4. § 133. 5. Ἀλεξάνδρῳ] ὁμήρους ἀλεξάνδρῳ BCG, ἀλεξάνδρῳ· ἦσαν δὲ ν' DO. 6. εἶναι] ἐν ῇ BCG, η' εἶναι Gronovius, η' (vel ν') εἶναι Dobraeus. τῶν om B. 7. ὁμηρῶσαι ABCD. 8. γὰρ τὸ om C. Od. 16 468. ὡμήρωσε C. 9. ἀχαιοῖς ABC. 10. ἀκολουθεία A. 11. ἐντεῦθεν om C. 12. § 65. 13. ἀγλαντιάδι B. 14. βα C. βίον A, τὸν βίον B. 15. εἶναι ἀπογόνους B. 16. ὠνομάσθαι D. 17. ἐν] ἐν τοῖς C. 18. διδόντες B. 20. ἐν τῇ A, et mox παραγραφῇ. 24. τοῦ post μετ. add N. 25. καὶ μὴ] τὸ δὲ BC. στρεύγεσθαι Salmasius. 26. 1 51. εἰσὶν om C. 29. § 93.

ἂν εἶεν οἱ γεγραμμένοι Δημοσθένες περὶ τῆς ἐξέλης λόγοι. ὅτι δὲ τῶν χορηγησάντων ἦν, Ἡλιόδωρος περὶ τῶν Ἀθήνησι τριπόδων.

ὀνομάζων ἀντὶ τῦ φράζων, ἑρμηνείᾳ χρώμενος, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

ὀξυθύμια. Ὑπερίδης ἐν τῷ κατὰ Δημάδε φησὶ "περὶ ἕ πολλῷ ἂν δικαιότερον ἐν τοῖς ὀξυθυμίοις ἡ ςήλη ςαθείη ἢ ἐν τοῖς ἡμετέροις ἱεροῖς." ἔνιοι μέν, ὧν ἐςὶ ϗ Ἀρίςαρχος, ὀξυθύμια λέγεσθαί φασι τὰ ξύλα, ἀφ' ὧν ἀπάγχονταί τινες, ἀπὸ τῦ ὀξέως τῷ θυμῷ χρῆσθαι· ταῦτα δ' ἐκκόπτοντες ἐξορίζεσι ϗ καίεσι. Δίδυμος δὲ Αὐτοκλείδε λέξιν παραγράψας ἐκ τῶν ἐξηγητικῶν φησὶν ὀξυθύμια τὰ καθάρματα λέγεσθαι ϗ ἀπολύματα· ταῦτα γὰρ ἀποφέρεσθαι εἰς τὰς τριόδες, ὅταν τὰς οἰκίας καθαίρωσιν. ἐν δὲ τῷ ὑπομνήματι εἰς τὸν κατὰ Δημάδε τὰ ἐν ταῖς τριόδοις φησὶν Ἑκαταῖα, ὅπε τὰ καθάρσια ἔφερόν τινες, ἃ ὀξυθύμια καλεῖται. Εὔπολις Δήμοις "ὃν χρῆν ἔν τε ταῖς τριόδοις κἀν τοῖς ὀξυθυμίοις προςρόπαιον τῆς πόλεως κάεσθαι τετριγότα." ἔςι τὔνομα ϗ παρὰ Πυθέᾳ ἐν τῷ κατὰ Ἀδειμάντος.

ὀπισθόδομος. Δημοσθένης ἐν τῷ περὶ συντάξεως "ἀνέῳξαν δήπε πρώην τινὲς τὸν ὀπισθόδομον." ὁ οἶκος ὁ ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς ἕτω καλεῖται, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα.

ὀργάς· Δημοσθένης ἐν τῷ περὶ συντάξεως. ὀργὰς καλεῖται τὰ λοχμώδη ϗ ὀρεινὰ χωρία ϗ ἐκ ἐπεργαζόμενα, ὅθεν ϗ ἡ Μεγαρικὴ ὀργὰς προσωνομάσθη τοιαύτη τις ἔσα, περὶ ἧς ἐπολέμησαν Ἀθηναῖοι Μεγαρεῦσιν.

ὀργεῶνας. Ἰσαίε λόγος ἐςὶ πρὸς ὀργεῶνας, ὀργεῶνες δ' εἰσὶν οἱ ἐπὶ τιμῇ θεῶν ἢ ἡρώων συνιόντες· ὀργιάζειν γάρ ἐςι τὸ

1. οἱ om B. Δημοσθένει? περὶ] ἐν τῷ περὶ BC. 2. post ἦν hiat A. τῶν ἐν ἀθ. codices. 3. τριπόδων] cf. Boeckh. ad Inscript. 211. 5. § 35? 6. φησὶ om pr B. πολλῶν B. 8. μὲν ἂν ὧν N. 9. τὰ ξύλα φασὶν B. ἀπὸ] ἀντὶ C. 10. δὲ κόπτοντες C. 12. ἐξηγητῶν BC. 13. ἐς B. 14. εἰς τὸν] τῷ ABC. 15. διόδοις B. ἑκαταῖος πῦ ABCG, ἑκαταῖα O, ἑκαταῖα τυτέςι Salmasius. ὅπυ Valesius. τὰ καθάρσια om pr B. 16. ἔχρην corr B. τε add Porsonus Advers. p. 286. τοῖς B, om C. 17. τοῖσιν AC. πρὸς τὸ τρόπαιον ACG et rc B: nam pr om. correxit Valesius. καίεσθαι BCG. 18. περιτετριγότα ACG, περιτετρυγότα B. praepositionem exemit Porsonus. 19. post περὶ cum D omisi τῆς. § 14. 21. ἀπετίθην A. 22. ὄχετος δῆμος τῆς λεοντίδος margo N. § 32. 23. ὀρεινὰ] ὀχληρὰ C. ἡ om C. 24. ἐπολέμησαν ἀθηναῖοι N, ἐπολέμησεν ἀθηναῖ ABC. 26. ἰσαῖος ὁ λόγος C.

θύειν ϗ τὰ νομιζόμενα δρᾶν, ἤτοι παρὰ τὸ ὀρέγειν τὼ χεῖρε, ἢ παρὰ τὰ ὄργια, ἢ διὰ τὸ ἐν ταῖς ὀργάσι ϗ τοῖς ἄλσεσι τὰ ἱερὰ δρᾶν. οἱ μέντοι ποιηταὶ ἔταττον τοὔνομα ἁπλῶς ἐπὶ τῶν ἱερέων, ὡς Ἀντίμαχός τέ που ϗ Αἰσχύλος ἐν Μυσοῖς. μήποτε δὲ ὕστερον νενόμισαι τὸ ἐπὶ τιμῇ τινὰς τῶν ἀποθανόντων συνιέναι ϗ ὀργεῶνας ὁμοίως ὠνομάσθη, ὡς ἔστι συνιδεῖν ἐκ τῶν Θεοφράστου διαθηκῶν.

ὀργέων ἀντὶ τοῦ ὀργεώνων Λυσίας ἐν τῷ περὶ Θεοπόμπου κλήρου.

ὀρικὰ ζεύγη τὰ τῶν ὀρέων, τουτέστι τῶν ἡμιόνων, Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας· ὅτι γὰρ ὀρέας ἐκάλουν τὰς ἡμιόνους, ϗ Ὅμηρος ϗ Ἀριστοφάνης ἐν Βατράχοις δηλοῖ.

ὀριγνηθῆναι ἀντὶ τοῦ ἐπιθυμῆσαι Ἀντιφῶν Ἀληθείας α΄.

ὀρκάνη· Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος β΄. μήποτε ὁ φραγμός, τουτέστι τὸ περίφραγμα ϗ ἡ αἱμασιά, οὕτω καλεῖται, παρὰ τὸ ἐρύκειν ἢ παρὰ τὸ ἕρκος εἶναι. Ὅμηρος "αἱμασιὰς λέξαντες ἀλωῆς ἔμμεναι ἕρκος."

ὀρνιθευτὴς ὁ ὀρνιθοθήρας· Δείναρχος κατὰ Προξένου, Πλάτων ἢ Κάνθαρος Συμμαχίᾳ. ἔστι δὲ ϗ ἐν τῇ νέᾳ κωμῳδίᾳ δρᾶμα Ὀρνιθευτὴς Νικοστράτου.

ὅρος. οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις ϗ χωρίοις γράμματα, ἃ ἐδήλου ὅτι ὑπόκειται δανειστῇ· Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν ϗ Μένανδρος Παρακαταθήκῃ.

ὅρον σκεῦός τι γεωργικόν, ὡς Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ὑποσημαίνει. μήποτε μέντοι τὸ ὅρον παρά τε Αἰσχύλῳ ἐν Κερκύονι ϗ παρὰ Μενάνδρῳ ἐν β΄ Ἐπικλήρῳ σημαίνει ξύλον τι, ᾧ τὴν πεπατημένην σταφυλὴν πιέζουσιν.

ὀρρωδεῖν ἀντὶ τοῦ φοβεῖσθαι Ἀνδοκίδης ἐν τῷ περὶ τῆς ἀδείας. πολὺ δ᾽ ἐστὶ τοὔνομα παρ᾽ αὐτοῖς. ὀρρωδία δὲ τὸ δέος· Δημοσθένης ἐν δημηγορικοῖς προοιμίοις.

1. δρᾶν Valesius, ὁρᾶν ABCD. ἤτοι — 3. δρᾶν om B. 2. ταῖς A. ἄλεσι N. 3. δραμεῖν D. ποιηταὶ καὶ ἔτ. A. 4. τέ που] πού φησι BC. μύσαις BC. 6. ὀνομάζεσθαι D. 8. om C. κλήρω B. 9. post τουτέστι cum D omisi τὰ. 10. § 111. 12. ὀριγνησθῆναι A. 13. ὁ] καὶ ὁ BC. 15. εἶναι add D. Od. 24 224. 17. ὁ om BC. ἐν τῷ κατὰ BC. 18. δὲ om B. 21. χωρὶς γράμμα A, χωρὶς γραμμάτων BC. v. Inscript. 530 — 533. ἃ ἐδήλου D, δηλοῦντα ABC. 22. σπουδία B. § 6. 23. ὅρος B, ὅρος N. ὡς om C. 24. τὸν B, καὶ τὸν C. ὅρος N. αἰσχύλου B, αἰσχύλον C. Κερκύονι Salmasius, κεραυνῶνι ABC. 25. ἐπικλήρων C. 26. δ᾽ C. 28. δέος ὡς δημ. A.

ὄρυγμα. ἰδίως ἅτως ἐκαλεῖτο ἐφ' ὃ οἱ κακᾶργοι ἐκολάζοντο Ἀθήνησι· Λυκᾶργος κατ' Ἀριςογείτονος.

ὅσιον. Ὑπερίδης ἐν τῷ πρὸς Ἀριςογείτονά φησι "ϗ τὰ χρήματα τά τε ἱερὰ ϗ τὰ ὅσια," ὅ τε Ἰσοκράτης Ἀρεοπαγιτικῷ "ϗ τοῖς ἱεροῖς ϗ τοῖς ὁσίοις." ὅτι δὲ τὰ ὅσια τὰ δημόσια δηλοῖ, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτες σαφῶς διδάσκει περὶ τέτων· "ϗ τὰ μὲν ἱερά, τὰς δεκάτας τῆς θεᾶ ϗ τὰς πεντηκοςὰς τῶν ἄλλων θεῶν, σεσυληκότας" ϗ μετ' ὀλίγα "τὰ δὲ ὅσια ἃ ἐγίνετο ἡμέτερα κεκλοφότες." Δίδυμος δὲ "διχῶς" φησὶν "ἔλεγον τὸ ὅσιον, τό τε ἱερὸν ϗ τὸ ἰδιωτικόν."

ὀχοφόροι· Ὑπερίδης ἐν τῷ κατὰ Δημέα, εἰ γνήσιος. περὶ τῶν ὀχοφόρων ἄλλοι τε εἰρήκασι ϗ Φιλόχορος ἐν τῇ ιβ'. ὁ δὲ Ἴςρος ἐν τῇ ιγ' περὶ Θησέως λέγων γράφει ἅτως, ἕνεκα τῆς κοινῆς σωτηρίας νομίσαι τὰς καλαμένας ὀχοφόρας καταλέγειν β' τῶν γένει ϗ πλάτῳ πραχόντων. ἡ δὲ ὄχη κλῆμά ἐςι βότρυς ἐξηρτημένας ἔχον· ταύτην δὲ ὀρεχάδα ἔνιοι καλᾶσιν.

ὅτι νόμος ἐςὶν ὑπὲρ μ' ἔτη γενόμενον χορηγεῖν παισίν, Αἰσχίνης τε ἐν τῷ κατὰ Τιμάρχα φησὶ ϗ Ἀριςοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

ὅτι ξένας τινὰς ἑαυτᾶ αἰχμαλώτας σκάπτοντας ἐν τῷ Φιλίππα ἀμπελαργίῳ ϗ δεδεμένας παρὰ πότον ἐξητήσατο παρὰ Φιλίππα Σάτυρος, Αἰσχίνης μὲν ἐν τῷ περὶ τῆς πρεσβείας φησί. Δημοσθένης δ' ἐν τῷ κατ' Αἰσχίνα φησὶν ὅτι Ἀπολλοφάνας θυγατέρας ἐξῃτήσατο, ϗ ἔοικε μᾶλλον ἀληθεύειν· ϗ γδ Ἀριςοτέλης ἔν τινι τῶν πρὸς Φίλιππον ἐπιςολῶν λέγει ὡς Σατύρῳ τῷ ὑποκριτῇ τὰς Ἀπολλοφάνας θυγατέρας ἀφῆκεν.

ὅτι οἱ ἁλόντες ἐπ' ἀκασίῳ φόνῳ ἐξασίαν εἶχον εἰς διοίκησιν τῶν ἰδίων, Δημοσθένης ἐν τῷ κατ' Ἀριςοκράτας ὑποσημαίνει ϗ Θεόφραςος ἐν τῷ ιγ' τῶν Νόμων δηλοῖ.

ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον ἐκ ἦσαν κύριοι, εἰ μὴ παῖδας γνησίας καταλίποιεν ἐν τῷ οἴκῳ τᾶ ποιη-

1. ἀφ' C. 3. τὰ om D. 4. τὰ om BC. § 66. 6. § 120. 7. τὰς om C. 9. ἐγένετο B, ἐγένοντο C. 11. δημαίῳ ABC. γν.] γν. ὁ λόγος A. 12. τρεισκαιδεκάτη A. 13. θέσεως BC. λόγα C. 16. δὲ om A. 18. § 11. τῇ τῶν ἀθ. C. 20. τινὰς] καί τινας BC. 21. πόντον BC. ἐξηγήσατο C. 22. μὲν] δ' C. τῶ παραπρ. D. § 156. 23. Δημ. — φησὶν om C. τῷ om A. § 193. 24. θυγατέρα A. καὶ — ἀληθεύειν om C. 27. ἐξασίαν unde? φρόντονα enim A, φρόντωνα BCDG, D quidem post ἰδίων. 28. ὑποσημαῖνον B. 30. ποιηταὶ C. 31. κατέλιπον BC.

σαμένȣ, *Ἀντιφῶν* ἐπιτροπικῷ Καλλιςράτȣ ϗ Σόλων ἐν κα' Νόμων.

Ὅτι τὰ ἐπικηρυττόμενά τισι χρήματα ἐπὶ τῶν βωμῶν ἐτίθετο, εἴρηκεν Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην τὸν Σωκρατικόν, εἰ γνήσιος ὁ λόγος.

Ὅτι πρὸς τὴν φυλὴν τȣ̃ κεκτημένȣ αἱ πρὸς τȣ̀ς δȣ́λȣς λαγχάνονται δίκαι, Ἰσαῖος ἐν ἀπολογίᾳ ἀποςασίȣ πρὸς *Ἀπολλόδωρον* δηλοῖ.

Ὅτι παιδὶ ϗ γυναικὶ ȣ̓κ ἐξῆν συμβάλλειν πέρα μεδίμνȣ κριθῶν, Ἰσαῖος ἐν τῷ περὶ τȣ̃ *Ἀλεξάνδρȣ* κλήρȣ φησίν.

Ὅτι χιλίας ἐζημιȣ̃ντο αἱ κατὰ τὰς ὁδȣ̀ς ἀκοσμȣ̃σαι γυναῖκες, Ὑπερίδης ἐν τῷ κατ' *Ἀριςαγόρας* β' εἴρηκεν. Κρώβυλος δὲ ὁ κωμικός φησι τȣ̃ Φιλιππίδȣ τὸν νόμον εἶναι τὸν περὶ τȣ́των κείμενον.

Οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς· *Δημοσθένης* ἐν τῷ ὑπὲρ Κτησιφῶντος. παροιμία ἐςὶν ἐλλειπτικῶς λεγομένη· προσυπακȣςέον ȣ̃ν ἔξωθεν τὸ ἀγκύρας.

Οὐσίας δίκη. οἱ δικαζόμενοι περὶ χωρίων ἢ οἰκιῶν πρὸς τȣ̀ς ἔχοντας ȣ̓σίας ἐδικάζοντο τὴν δευτέραν δίκην· ἡ δὲ προτέρα ἦν τῶν μὲν οἰκιῶν ἐνοικίȣ τῶν δὲ χωρίων καρπȣ̃, τρίτη δὲ ἐπὶ τȣ́τοις ἐξȣ́λης. ϗ ἐξῆν τοῖς ἑλȣ̃σι κρατεῖν τῶν κτημάτων ϗ εἰ τὴν δίκην τὴν τȣ̃ καρπȣ̃ ἢ τȣ̃ ἐνοικίȣ ϗ εἰ τὴν δευτέραν ἡττηθεῖεν τὴν τῆς ȣ̓σίας· εἰ δὲ ϗ ἐξȣ́λης ἁλοῖεν, ȣ̓κέτι ἐξῆν ἐπικρατεῖν, ἀλλ' ἐξίςασθαι ἔδει ἤδη τῶν κτημάτων τοῖς καταδικασαμένοις. ταῦτα δὲ ἔςι μὲν ϗ παρ' ἄλλοις ῥήτορσιν, ἀκριβέςατα δὲ εἴρηται Ἰσαίῳ ἔν τε τῷ πρὸς Τιμωνίδην περὶ χωρίȣ ϗ ἐν τῷ πρὸς Δωρόθεον ἐξȣ́λης. διείλεκται δὲ περὶ τῆς δίκης ϗ Θεόφραςος ἐν ιη' περὶ νόμων.

Ὀφρύνιον· *Δημοσθένης* ἐν τῷ πρὸς Ἀπατȣ́ριον. πόλις ἐςὶ τῆς Τρῳάδος, ὡς δηλοῖ Ἀνδροτίων ἐν γ' Ἀτθίδος.

Ὀχεῖον ἀντὶ μὲν τȣ̃ ὄχημα *Δείναρχος* ἐν ἀπολογίᾳ πρὸς Ἀν-

1. κα^ω C. 4. εἰ γνήσιος ὁ λόγος om C. 6. φυλακὴν C. 9. ἐμβάλλειν D, ἐμβάλλειν (γρ συμ) A. 10. τȣ̃ om B. κλήρω ABC. 11. κοσμȣ̃σαι C. 15. τοῖς αὐτοῖς C. 16. § 281. ἐλλειπτικῶς D, ἐλλειπῶς A, ἐλλιπῶς BCN. 20. τρίτη — 22. καρπȣ̃ om C. δὲ add D. 21. τȣ́των D, τῆς B. 22. καὶ εἰ] κἂν D. τὴν α' δίκην? καὶ εἰ] εἰ καὶ D. 23. ἐξῆς C. 24. κρατεῖν D. 27. δὲ] δὲ καὶ BC. 29. ὀφρύνιον D: ceteri ὀφρύνειον. § 20. ἐςὶ] δέ ἐςι C. 31. τȣ̃ ... ιὸν C.

τιφάνην περὶ τοῦ ἵππου, ἀντὶ δὲ τοῦ εἰς ὀχείαν ἀποδεδειγμένον ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· φησὶ γοῦν „ὠνοῦνταί μοι τὸν ἵππον ὀχεῖον.“ Λυκοῦργος δ᾽ ἐν τῷ περὶ διοικήσεως γείτονας τοῦ ὀχείου φησί· μήποτε δὲ ἐπὶ τόπου τινός, ἐν ᾧ ὀχεῖαι γίνονται κτηνῶν ἢ ὀχήματα μισθοῦται.

Παγασαί· Δημοσθένης ἐν Φιλιππικοῖς. ἐπίνειόν εἰσι Φεραίων αἱ Παγασαί, ὡς Θεόπομπος ἐν τῇ ε΄ τῶν Φιλιππικῶν δηλοῖ.

Παιανιεῖς ϗ Παιονίδαι. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος „ὅτ᾽ ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλη τὸν Παιανιέα ἀνεψιὸν ὄντα.“ Δίδυμος γραπτέον εἶναί φησι Παιανέα, χωρὶς τοῦ ι. εἰσὶ δὲ διττοὶ δῆμοι Παιανιέων τῆς Πανδιονίδος φυλῆς, οὓς Διόδωρος καλεῖσθαί φησι Παιανιέαν καθύπερθεν ϗ Παιανιέαν ὑπένερθεν· ὁμοίως δ᾽ ἑκατέρου τῶν δήμων τὸν δημότην καλεῖσθαί φησι Παιανιέα. διαφέρουσι δὲ οὗτοι τῶν Παιονιδῶν, ὡς Ἴστρος ἐν Ἀτάκτῳ ὑποσημαίνει. μνημονεύουσι δὲ ϗ τούτων οἱ ῥήτορες, ὥσπερ ϗ Δείναρχος ἐν τῷ κατὰ Στεφάνου περὶ τοῦ ὀχετοῦ. δῆμος δέ ἐστι ϗ οὗτος τῆς Λεοντίδος, ὡς ὁ αὐτὸς Διόδωρος δηλοῖ.

παλιναίρετος· Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει. μήποτε παλιναίρετον λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ συκοφαντῶν τινάς, ἔπειτα λαμβάνων δῶρα τούτοις αὐτοῖς ἐβοήθει, ὡς ἐν αὐτῷ τῷ λόγῳ δείκνυται· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, ϗ διὰ τοῦτ᾽ ἐκωλύετο λέγειν πρὶν ἀποτῖσαι τὴν ζημίαν ἣν ὤφειλεν, ἔπειτα ἀποτίσας τὴν ζημίαν πάλιν ἔλεγεν, ὡς δηλοῦται ϗ τοῦτο ἐν τῷ λόγῳ. ὅτι γὰρ τοὺς τοιούτους ἐκάλουν παλιναιρέτους, ϗ τοὺς ἀποχειροτονηθέντας τὴν ἀρχὴν ϗ πάλιν χειροτονηθέντας, Εὔπολίς τε ἐν Βάπταις

1. τῆς ἵππου C. ἀποδεδειγμένου AB. 2. γοῦν add D. ὀνοῦται B, ου corr. 3. λύητος B. δ᾽ add ADN. περὶ] περὶ τῆς BCD. 5. ante κτηνῶν cum D omisi τῶν. ἢ C. μισθοῦται] ὀχεῖται C. 6. Olynth. 1 9 et 22, 2 11. ἐν om C. φερέων A. 7. ε΄ om BC. 8. παιανεῖς C. παιανίδαι cod. Coislin. 177 ap. Montefalc. § 51. 9. ἐγράψαντο AB. δημοσία ABC: correxit Maussacus. 10. Δίδυμος — 11. ι om C. παιανιέα omnes: cf. Boeckh. Inscr. 522 et 747. 11. ι΄] η̄ B. 12. ὡς AB. 12 et 13. παιανιέων A cum Valesio, παιανιέα G. 12. παιανιέαν — 14. φησι om C, παιανιέαν — 14. παιανιέα om B. 12. καθύπερθε A. 14. δὲ] οὖν C, om B. οὗτοι om C. 17. λεωνίδος C. 18. ὁ add A. 19. πάλιν αἱρετὸς et 20. πάλιν αἱρετὸν AB, παλιναιρετὸς C. 19. τῷ C. ἐκφυλλοφορηθέντος C. 23. ἐκολύετο τοῦ λέγειν D. 24. τὴν ζημίαν om N. 25. τῷ αὐτῷ λόγῳ N. 27. τὴν] ἄρχοντάς τινὰ D. βαπταῖς A.

δηλοῖ ϗ Ἄρχιππος ἐν Ἰχθύσι λέγων "αἱρȣμένȣς τε πραγμάτων ἐπιςάτας ἀποδοκιμάζειν πάλιν. ἢν ȣ̃ν ποιῶμεν ταῦτα, κίνδυνος λαθεῖν ἁπαξάπαντας γενομένȣς παλιναιρέτȣς." ἐπὶ δὲ τῶν καθαιρεθέντων οἰκοδομημάτων ϗ ἀνοικοδομηθέντων Πίνδαρος Διθυράμβοις.

παλίνσκιον. Ἰσαῖος μὲν ἐν τῷ πρὸς ὀργεῶνας "μήτε παλίνσκιον γίγνεσθαι τὸ χωρίον" ἀντὶ τȣ̃ σύσκιον, Ἀρχίλοχος δὲ τριμέτροις "πρὸς τοῖχον ἐκινήθησαν ἐν παλινσκίῳ" ἀντὶ τοῦ ἐν σκοτεινῷ, ϗ Σοφοκλῆς Ἰνάχῳ "χειμῶνι σὺν παλινσκίῳ" ἀντὶ τȣ̃ ζοφερῷ.

παλίμβολον· Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ὁ πολλάκις ἐμπολῇ μεταβεβλημένος παλίμπρατος παλίμβολος λέγεται, ὡς δῆλόν ἐςιν ἔκ τε τȣ̃ Δεινάρχου κατὰ Πολυεύκτȣ ϗ ἐκ τȣ̃ Μενάνδρȣ Σικυωνίȣ.

Παλληνεύς· Ὑπερίδης ἐν τῇ ὑπὲρ Χαιρεφίλȣ ἀπολογίᾳ. Παλλήνη δῆμος τῆς Ἀντιοχίδος. τὸ δὲ ἐκ τόπȣ ἐπίρρημα Δείναρχος ἐν τῷ κατὰ Στεφάνȣ Παλλήνηθέν φησιν, ὁ δὲ δημότης Παλληνεύς. ὅτι δ' ἐςὶ ϗ ἐν Θράκῃ Παλλήνη, γνώριμον.

παλαμναῖος· Ὑπερίδης ἐν τῷ κατὰ Δημάδȣ. τȣ̀ς αὐτοχειρίᾳ τινὰς ἀνελόντας, τῇ παλάμῃ, παλαμναίȣς ἐκάλȣν, ὡς ϗ Αὐτοκλείδης ἐν ἐξηγητικῷ ὑποσημαίνει.

Παμβωτάδης· Δημοσθένης ἐν τῷ πρὸς Νικόςρατον. Παμβωτάδαι τῆς Ἐρεχθηΐδος δῆμος.

πανδαισία· Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα. ἔςι μὲν τȣ̃νομα πολλάκις ϗ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ, πανδαισία δέ ἐςι τὸ πάντα ἔχειν ἄφθονα ϗ μηδὲν ἐλλείπειν ἐν τῇ δαιτί. ἡ γȣ̃ν τȣ̃ Διδύμȣ ἀπόδοσις περίεργος.

πάνδημος Ἀφροδίτη· Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέȣς, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν πάνδημόν φησιν

1. φησὶ C. ἐν] ἐν τοῖς AB. 2. πάλιν] εἶτα δοκιμάζειν πάλιν Porsonus Advers. p. 281. 4. καθαιρετῶν pr B. 6. μὲν et 7. δὲ et 9. καὶ add D. 6. μήποτε C. 7. γενέσθαι C. 8. ἐκλίνθησαν Toupius probatus Porsono ap. Gaisford. Hephaest. p. 243. παλισκίω N. 11. περὶ τῆς om D. § 40. 12. ἐπεμβολῇ ADN, ἐν πολλῇ C, ἐμβολῇ O. καταβεβλημένος B. παλίμβρατος B, παλίμπρακτος C. 13. τε om BC. 16. τῆς om BC. δὲ om pr B. 17. δὲ D: ceteri ȣ̃ν. 19. τȣ̀ς add D. 20. αὐτοκλεῖ A. 22. παμβωτάδαι D, παμβατώδεις BC. Δημ. — 24. πανδαισία om BC. § 13. παμβῶται D. 24. μὲν] δὲ C. 25. ἐςι] εἶναι εἴληφα A, εἶναι εἴληφε BC. 28. ἀφροδίτης C. προκλέȣς B, πρωκλέȣς A. 29. γνήσιος] γνήσιος ὁ λόγος A.

᾿Αθήνησι κληθῆναι τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλȣν ἀγοράς. Νίκανδρος ἐν ϛ′ Κολοφωνιακῶν Σόλωνά φησι σώματα ἀγοράσαντα εὐπρεπῆ ἐπὶ ςέγης ςῆσαι διὰ τȣ̀ς νέȣς, ϗ ἐκ τῶν περιγενομένων χρημάτων ἱδρύσασθαι ᾿Αφροδίτης πανδήμȣ ἱερόν. ἔςι δὲ τὸ πάνδημον πάγκοινον.

Πάνδια ἑορτή τις ᾿Αθήνησι μετὰ τὰ Διονύσια ἀγομένη.

Πανδοσία· Δημοσθένης Φιλιππικοῖς. περὶ τῆς ἁλώσεως τῶν ἐν Κασωπίᾳ πόλεων, ὧν ἐςὶ ϗ Πανδοσία, Θεόπομπος ἐν γ′ ἱςόρηκεν.

Πανδιονίς· Δημοσθένης κατὰ Μειδίου. μία τῶν ι′ φυλῶν παρ᾿ ᾿Αθηναίοις ἐςί, κληθεῖσα ἀπὸ Πανδίονος τȣ̃ ᾿Εριχθονίȣ, ὡς ἄλλοι τε πολλοὶ λέγȣσι ϗ ῾Υπερίδης ἐν τῷ ὑπὲρ Φορμισίȣ.

Παναθήναια· Δημοσθένης Φιλιππικοῖς. διττὰ Παναθήναια ἤγετο ᾿Αθήνησι, τὰ μὲν καθ᾿ ἕκαςον ἐνιαυτόν, τὰ δὲ διὰ πεντετηρίδος, ἅπερ ϗ μεγάλα ἐκάλουν. ᾿Ισοκράτης Παναθηναϊκῷ φησὶ "μικρὸν δὲ πρὸ τῶν μεγάλων Παναθηναίων." ἤγαγε δὲ τὴν ἑορτὴν πρῶτος ᾿Εριχθόνιος ὁ ῾Ηφαίςȣ, καθά φησιν ῾Ελλάνικός τε ϗ ᾿Ανδροτίων, ἑκάτερος ἐν α′ ᾿Ατθίδος. πρὸ τȣ́τȣ δὲ ᾿Αθήναια ἐκαλεῖτο, ὡς δεδήλωκεν ῎Ιςρος ἐν γ′ τῶν ᾿Αττικῶν.

Πάνακτος· Δημοσθένης κατὰ Κόνωνος. πόλις ἐςὶ μεταξὺ τῆς ᾿Αττικῆς ϗ τῆς Βοιωτίας, ὡς ϗ Εὐριπίδης ἐν Αἰγεῖ μνημονεύει. Θȣκυδίδης μὲν ȣ̓̃ν ȣ̓δετέρως καλεῖ τὸ χωρίον ἔν τε ἄλλοις κἀν τῇ ε′, ἀρρενικῶς δὲ Μένανδρος ἐν Ψοφοδεεῖ.

Πάνδροσος ὄνομα γυναικός.

παραγραφή ȣ̓ μόνον ἐπὶ τȣ̃ κοινȣ̃ ϗ γνωρίμȣ τίθεται παρὰ

1. ἀμφιδρυθεῖσαν BC. ἀρχ. ἀγ.] cf. Boeckh. Inscr. p. 470 b. 2. δῆμον πάντα, omisso τὸν, D. ἀνάγεσθαι A. τὸν AB. 3. ἐν ταῖς ἐκκλησίαις om D. ἕκτη C, θῖ N. κολωνιακῶν B, κολοφωνικῶν N. 5. ςήσασθαι A. περιγινομένων A. 6. ἀφροδίτη BC. πάνδημον ABCN. τὸ add D. 8. post p. 145 7 B, om AC. 9. φιλιππικοῖς δημοσθένης BC. de Halonn. 32. 10. ἐν om B. κασωπία D, κασωπεία A, κασεπεία B, κασσωπεία C. 12. πανδιωνὶς C. § 13. 14. Φ.] μησί A. 16. πενταετηρίδος A. 17. ἅπερ καὶ] ἃ D. § 17. 19. πρῶτος D, ὁ ABC. ὁ om D. 21. ἐκαλȣ̃ντο C. 23. § 3. 24. καὶ παρ᾿ εὐριπίδη A. αἰγὶ BC, αἰγίδι A: correxit Maussacus. 26. c. 3 et 42. ἐν om B. ψοφοδεεῖ Valesius, ψηφώσεσιν A, ψηφώδεσσι C, ψηφώδεσιν B. 28. παραγραφή om C. τȣ̃ om C. γνωρίμȣ] ἰδίȣ C.

τοῖς ῥήτορσιν, ἀλλ' ἰδίως Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεώς φησιν "λέγε ἀρξάμενος ἀπὸ τῆς παραγραφῆς," ὅπερ ἐςὶν ἀπὸ τῆς γραμμῆς ἣν μέχρι νῦν παράγραφον καλȣ̃μεν· ϗ ἔςι τὸ λεγόμενον, ἀφ' ȣ̃ παρέγραψα· τȣ̃το δ' ἂν εἴη, ἀφ' ȣ̃ παρεθέμην. ὁ δ' Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένȣς "ȣ̓δὲ μέχρι παραγραφῆς" φησὶν ἀντὶ τȣ̃ ȣ̓δὲ μέχρι τινὸς ὡρισμένȣ χρόνȣ ϗ παραγεγραμμένȣ, ὅ ἐςι περιγεγραμμένȣ.

παραγγελία. "ὅση σπȣδὴ ϗ παραγγελία περὶ τȣτονὶ τὸν ἀγῶνα γέγονε." ϗ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ Κτησιφῶντος· "τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, ϗ τὴν παράταξιν ὅση γεγένηται, ϗ τὰς κατ' ἀγορὰν δεήσεις αἷς κέχρηνταί τινες." Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτȣ ἀποφάσει "ϗ τὰς ἰδίᾳ παραγγελίας γεγενημένας ϗ τὰς δεήσεις."

παράκλησις ἀντὶ τȣ̃ προτροπή· Ἰσοκράτης Παραινέσεσι "διόπερ ἡμεῖς ȣ̓ παράκλησιν εὑρόντες ἀλλὰ παραίνεσιν γράψαντες." τίθεται μέντοι σπανίως ϗ ἀντὶ τῆς δεήσεως· Λυκȣ̃ργος ἐν τῷ περὶ τῆς ἱερείας προειπὼν "εἰ μὲν ὑπὲρ ἰδίȣ τινὸς ἦν ὁ ἀγών, ἐδεόμην ἂν ὑμῶν μετ' εὐνοίας ἀκȣ̃σαί μȣ" μετ' ὀλίγον φησὶν "νυνὶ δὲ αὐτȣ̀ς ὑμᾶς οἶμαι τȣ̃το ποιήσειν ϗ χωρὶς παρακλήσεως τῆς ἐμῆς."

πάραλος. Δημοσθένης Φιλιππικοῖς. μία τῶν παρ' Ἀθηναίων πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριήρων, ἀπό τινος ἥρωος τȣ̃νομα λαβȣ̃σα Παράλȣ. οἱ δὲ ἐπιβεβηκότες αὐτῆς ἐκαλȣ̃ντο Πάραλοι, οἳ διὰ ταύτην τὴν ὑπηρεσίαν δ' τε ὀβολȣ̀ς ἐλάμβανον ϗ τὸ πλεῖον μέρος τȣ̃ ἐνιαυτȣ̃ οἴκοι ἔμενον, ἄλλα τέ τινα ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως, ὥς φησιν Ὑπερί-

1. § 59. 2. φησιν : – C. λέγε om in lacuna B. 3. γραφῆς B. ἣν N: vulgo ἧς. 6. ὡρισαμένȣ B. 7. παραγεγραμμένον A. ὅ ἐςι παραγεγραμμένȣ B, ὅ ἐςι περιγεγραμμένον A, om D. 8. ὅση — παραγγελία om ABC et praeter καὶ N. verba sunt Demosth. de FL 1. 9. αὐτȣ̃ B. 10. ἐν τῷ] αὐτῷ A. § 1. 11. τὴν om A. ὅση γεγένηται om C, ὅση — 12. τινες om N. 12. κατὰ τὴν ἀγορὰν C. 13. ἰδία D: ceteri ἰδίας. 15. προτροπῇ A, παρατροπή BC. § 5. 16. παραίρεσιν B. 18. ὑπὲρ] περὶ C. 19. ὑμῶν om BC. μετ'] καὶ μετ' C. 20. τȣ̃το om BC. 21. τῆς ἐμῆς παρακλήσεως N, τῆς ἡμῶν παρακλήσεως BC. 22. ἐν φιλ. D. de Chers. 29. 23. τριήρεων BCG. 24. λαβȣ̃σα om BC. 25. παράλιοι D. τέτταρας AC. 27. ὑπῆρχεν D: ceteri ὑπῆρχον.

δης ἐν τῷ κατ' Ἀρχεςρατίδυ. μέμνηται δὲ τῦ Παράλυ ἥρωος ϗ Φύλαρχος ἐν κα'.

παράβυςον. ὕτως ἐκαλεῖτό τι τῶν παρ' Ἀθηναίοις δικαςηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ια'· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων. μνημονεύυσι δ' αὐτῦ ἄλλοι τε τῶν κωμικῶν ϗ Τιμοκλῆς ἐν Ὀρεςαυτοκλείδῃ. ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωματίοις ϗ κλίνη παράβυςος, ἧς μέμνηται Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέυς. λέγεσθαι δ' ἔοικε ταῦτα κατὰ μεταφορὰν ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τυτέςι παραπληρωμάτων.

παραπεπτωκώς ἀντὶ τῦ, ὑποπεπτωκώς Δημοσθένης ἐν τῷ κατὰ Στεφάνυ.

παρακαταβολή ϗ παρακαταβάλλειν. οἱ ἀμφισβητῦντες χρημάτων τινῶν δεδημευμένων πρὸς τὴν πόλιν ϗ οἱ περὶ κλήρων ἢ ἐπικλήρων πρὸς ἰδιώτας ἀντιδικῦντες ἀργύριόν τι κατετίθεσαν· ϗ τύτυ ἐχρῆν αὐτὺς ςέρεσθαι, εἰ τὴν δίκην ἡττηθεῖεν. ἐπὶ μὲν ὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητήσεων δῆλόν ἐςιν ὅτι τὸ ε' μέρος τῦ ἀμφισβητυμένυ κατετίθετο. περὶ μὲν ὖν τῶν δημοσίων πολλαχῦ εἴρηται τῷ Λυσίᾳ, ὥσπερ ἔν τε τῷ πρὸς Ἀλκιβιάδην περὶ οἰκίας ϗ ἐν τῷ πρὸς Ἀσωπόδωρον περὶ οἰκίας, περὶ δὲ τῶν κληρικῶν ἄλλοι τε πάλιν εἰρήκασι ῥήτορες ϗ Ὑπερίδης ἐν τῷ περὶ Ἱππέως κλήρυ δευτέρῳ. Δημοσθένης μέντοι ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ περὶ ἰδίας τινὸς δίκης φησὶ "ϗ μετὰ ταῦτα προσκαλεῖται μέν με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολάς."

παραβάλοιτο ἀντὶ τῦ παραπέμψαιτο Αἰσχίνης κατὰ Κτησιφῶντος.

πάρεδρος· Λυκῦργος ἐν τῷ περὶ τῆς ἱερείας. πολύ ἐςι τὔνομα παρά τε τοῖς ῥήτορσι ϗ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριςοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ "λαμβάνυσι δὲ ϗ πα-

1. ἀρχεςράτυ A. ἥρωος] καὶ ἥρωος A. 2. φίλαρχος B. ἐν] ἐν τῇ B. 6. ἐν ὀρεςαντοκλεῖ AB, om C. 8. προκλέυς B, προκλέα A. 12. l 84. 14. τινῶν] πολλῶν C. κλῆρον C. 15. πρὸς] πρὸς τὺς C. 17. τῶν om C. 18. ὅτι om BC. περὶ — 19. δημ.] περὶ ὧν N. 19. ἀλλαχῦ BC. 20. περὶ] περὶ τῆς C. ἀσυμπόδωρον BC, ἀσωπίδωρον A. 22. περὶ] περὶ τῆς A. ἱππέων BC. 23. § 41. 24. καὶ] καὶ ὡς BCN. μετὰ om pr B. καλεῖται BC. με om BC. 25. καταβολάς N, πολλὰς καταβολάς ABC. 26. παραβάλλοιτο B, παρακαταβάλοιτο D. κατὰ] ἐν τῷ κατὰ BC. 28. πολὺ δέ ἐςι C. 29. κἂν N. 30. καὶ add D.

ρέδρες ὅ τε ἄρχων ϗ ὁ πολέμαρχος, β' ἑκάτερος ὃς ἂν βέληται· ϗ ὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν, ϗ εὐθύνας διδόασιν ἐπὰν παρεδρεύωσιν."

παρεῖαι ὄφεις· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. παρεῖαι ὀνομάζονταί τινες ὄφεις παρὰ τὸ παρειὰς μείζες ἔχειν, ὡς καὶ Κρατῖνος ἐν τῷ Τροφωνίῳ ὑποσημαίνει. ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημάδε γράφει ταυτί "εἶναι δὲ τὲς ῥήτορας ὁμοίες τοῖς ὄφεσι· τές τε γὰρ ὄφεις μισητὲς μὲν εἶναι πάντας, τῶν δὲ ὄφεων αὐτῶν τὲς μὲν ἔχεις τὲς ἀνθρώπες ἀδικεῖν, τὲς δὲ παρείας αὐτὲς τὲς ἔχεις κατεσθίειν."

παρρησίας ἀντὶ τῆ βλασφημίας ϗ λοιδορίας Ἰσοκράτης Βεσίριδι ϗ περὶ τῆ ζεύγες.

παρακρέεται ἀντὶ τῆ ἐξαπατᾷ. πολὺ δ' ἐςὶ παρά τε τοῖς ἄλλοις Ἀττικοῖς ϗ παρὰ Δημοσθένει ἐν τοῖς Φιλιππικοῖς. μετῆκται δὲ τὄνομα ἀπὸ τῆ τὲς ἱςάντας τι ἢ μετρῆντας κρέειν τὰ μέτρα ϗ διασείειν ἕνεκα τῆ πλεονεκτεῖν, ϗ ὡς Σοφοκλῆς πε "ὡς μήτε κρέσῃς μήθ' ὑπὲρ χεῖλος βάλῃς."

παρασκήνια· Δημοσθένης ἐν τῷ κατὰ Μειδίε. ἔοικε παρασκήνια καλεῖσθαι, ὡς ϗ Θεόφραςος ἐν κ' Νόμων ὑποσημαίνει, ὁ παρὰ τὴν σκηνὴν ἀποδεδειγμένος τόπος ταῖς εἰς τὸν ἀγῶνα παρασκευαῖς. ὁ δὲ Δίδυμος τὰς ἑκατέρωθεν τῆς ὀρχήςρας εἰσόδες ὅτω φησὶ καλεῖσθαι.

παράσημος ῥήτωρ· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομισμάτων, ἃ καλῆσι παράσημα ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινὶ ὃ τὴν φαυλότητα δηλοῖ, ἢ ἐπειδὴ παρατετύπωται ϗ παρακεχάρακται. ὅτι γὰρ ἐπὶ νομισμάτων λέγεται τὸ παράσημον, δεδήλωκεν ὁ ῥήτωρ ἐν τῷ κατ' Ἀριςοκράτες.

1. ἑκατέρες AB, ἑκάτεροι N. βέλονται A, βέληνται C, βέλωνται N. 2. παραδρεύσωσιν, εἶτα εὐθ. N. 3. διδῆσιν ἐπεὶ παρεδρεύεσιν BC. quidni παρεδρεύσωσιν? 4. παρείας ὄφις N. ὑπὲρ] ἐν τῷ ὑπὲρ BC. § 260. 5. καὶ om B. 7. δημάρχε BC. ὁμοίως AB. 8. ὄφισι A. 11—12. om C. 11. § 40. 12. καὶ — ζεύγες om AB. § 22. 14. ἐν τοῖς om C, τοῖς om B. Olynth. 2 5. 17. χεῖλος post Salmasium et Hemsterhusium (auctar. emendat. Hesych. extr.) Porsonus (append. Toup. p. 457): χειρὸς AN et codex Cantabrig., χεῖρα BC. βάλλῃς BC. 18. § 17. 19. καὶ] καὶ ὁ A. ᾱ^η C, η' B. 20. περὶ τὴν σκευὴν A. 23. § 242. 25. ἤτοι om N. 26. ὧ ABCN. ἢ om codices. 27. νοσημάτων N. 28. Ἀρ.] ἀρ. λόγῳ C. immo Timocrat. 213.

παράϛασις· Ἰσαῖος ἐν τῷ περὶ τȣ̃ Πύρρȣ κλήρȣ. τȣ̀νομα παρὰ πολλοῖς ἐϛὶν Ἀττικοῖς, ἔϛι δὲ δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας· Μένανδρος Μισογύνῃ "ἕλκει δὲ γραμματείδιον ἐκεῖσε δίθυρον ϗ παράϛασις μία δραχμή." Ἀριϛοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ θεσμοθετῶν λέγων φησὶν ὅτως "εἰσὶ δὲ γραφαὶ πρὸς αὐτȣ̀ς, ὧν παράϛασις τίθεται, ξενίας ϗ δωροξενίας, ἄν τις δῶρα δȣ̀ς ἀποφύγῃ τὴν ξενίαν, ϗ ψευδεγγραφῆς ϗ ψευδοκλητίας ϗ βȣλεύσεως ϗ ἀγραφίȣ ϗ μοιχείας." Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς περὶ νομοθεσίας τȣ̀ς διαιτητάς φησι λαμβάνειν τὰς δραχμὰς μίαν μὲν ἀπὸ τῆς λήξεως, ἣν παράϛασιν ἐκάλȣν, ἑτέραν δὲ κατὰ ὑπωμοσίαν ἑκάϛην.

παραφρυκτωρεῖν· Δείναρχος ἐν τῇ κατὰ Δεινίȣ ἐνδείξει. τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι, τȣτέϛιν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων ἐπὶ βλάβῃ δὲ τῶν φιλίων, ὅτως ἔλεγον, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ λόγῳ αὐτῷ ἐξηγήσατο.

παρηγγύησεν ϗ *παρεγγυηθέντας*. Ἰσαῖος ἐν τῇ πρὸς Διοφάνην ἐπιτροπῆς ἀπολογίᾳ φησὶ "τὸ μὲν παρὸν τὸ δὲ παρ' ἑτέρων μεταλαβεῖν παρηγγύησεν," ἀντὶ τȣ̃ παρέδωκεν ἐντειλάμενος ἑκατέρῳ, τῷ μὲν λαβεῖν τῷ δὲ δȣ̃ναι. ϗ πάλιν φησὶ "τὰ μὲν ἐμȣ̃ διαλύσαντος, β' τάλαντα ϗ λ' μνᾶς, τὰ δὲ τȣ̃ γεωργȣ̃ παρεγγυηθέντος" ἀντὶ τȣ̃ παραλαβόντος.

παρελθεῖν ἀντὶ τȣ̃ νικῆσαι Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

παρȣσία ἀντὶ τȣ̃ περιȣσία ἢ αἰτία πλέτȣ ȣ̓σία· Δημοσθένης ἐν τῷ περὶ συντάξεως ϗ Δείναρχος ἐν τῷ ὑπὲρ τῆς νεώς. ϗ Κράτης Θηρίοις "ἔχοντες εὐπαθῆ βίον παρȣσίαν τε χρημάτων."

1. πόρ^ρ^ȣ B. § 47. παρὰ — Ἀττικοῖς] πολὺ παρὰ τοῖς ῥήτορσιν D. 3. δικαζόντων B. 4. γραμματείδιον N, γραμματεῖον A, γραμμάτιον B: vulgo γραμματίδιον. 5. ἐν] ἐν τῇ BC. περὶ] περὶ τῶν D, om B. 6. λέγων add D. 7. τις om C. 8. ψευδογραφῆς BC. 9. ἀγραφίȣ] ἀργυρίȣ ABCDN: cf. Iungermann. Polluc. 8 88 9. 10. τοῖς] τῇ N. τὰς] δύο Portus. 11. λέξεως C. 12. ὑπωμοσίȣ, omissa κατά, D. 13. τῷ ABC. 14. κεχρῆσθαι A. ἐπὶ] ἐπὶ τῷ C. 15. ἐπὶ om BC. 16. αὐτȣ̃ BC, αὐτὸ A. 17. παρεγγύησεν codices. παρεγγυηθέντες BC. τῷ AB. 18. τὸ — 19. μεταλαβεῖν om C. τὸ δὲ] τόδε B. 19. λαβεῖν BG. παρεγγύησεν A. 20. διδόναι CG. 21. διαλύσαντος N: ceteri διαλύσαντας. 22. γεωργίȣ N. παρεγγυηθέντες et παραλαβόντες BC. 23. νικῆσαι — 24. τȣ̃ om C. διογένης B. § 7. 24. ἢ] ἡ BC: cf. Pierson. Moer. p. 297. 25. § 7? an pro περιȣσίας § 1? ὑπὲρ] περὶ C. καὶ Κράτης add e Suida Maussacus. 26. θηρία BC. βίȣ C. παρȣσία BC, περὶ ȣ̓σίαν D. τε om D.

Παῤῥάσιος· Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. ὅτι μὲν ζωγράφος Παῤῥάσιος, παντὶ δῆλον· Ἰόβας δὲ ἐν η' περὶ ζωγράφων διεξέρχετ τὰ περὶ τὸν ἄνδρα, φησὶ δ' αὐτὸν εἶναι υἱὸν ϗ μαθητὴν Εὐήνορος, Ἐφέσιον δὲ τὸ γένος.

Πασίνȣς· Ἰσοκράτης Αἰγινητικῷ. ὄνομα κύριον.

Πασίων ὄνομα κύριον, τραπεζίτης.

Παταικίων ὄνομα κύριον, κλέπτης ϗ τοιχωρύχος.

Πεδιακά· Λυσίας ἐν τῷ κατὰ Φιλίππȣ ἐπιτροπῆς, εἰ γνήσιος ὁ λόγος ἐςί. μοῖρα τῆς Ἀττικῆς ἐςίν, ἀπὸ τȣ͂ συμβεβηκότος ἐκαλεῖτο Πεδίον· εἶχε δὲ ϗ προβάτων νομάς, ϗ τὰ ἐντεῦθεν, ὡς ἔοικεν, ἐκαλεῖτο Πεδιακά. ἔςι δὲ ϗ παρ' ἄλλοις ῥήτορσι τȣ͂νομα.

Πεδάριτος· Ἰσοκράτης ἐν τῷ Ἀρχιδάμῳ. τῶν ἐκ Λακεδαίμονος ἐκπεμφθέντων ἐςὶν ȣ῏τος, ἁρμοςὴς ἀνήρ, τῶν γεγονότων καλῶν, ὥς φησι Θεόπομπος ἐν β' Ἑλληνικῶν.

πεζέταιρος· Δημοσθένης Φιλιππικοῖς. Ἀναξιμένης ἐν α' Φιλιππικῶν περὶ Ἀλεξάνδρȣ λέγων φησὶν "ἔπειτα τȣ̀ς μὲν ἐνδοξοτάτȣς ἱππεύειν συνεθίσας ἑταίρȣς προσηγόρευσε, τȣ̀ς δὲ πλείςȣς ϗ τȣ̀ς πεζȣ̀ς ἐς λόχȣς ϗ δεκάδας ϗ τὰς ἄλλας ἀρχὰς διελὼν πεζεταίρȣς ὠνόμασεν, ὅπως ἑκάτεροι μετέχοντες τῆς βασιλικῆς ἑταιρίας προθυμότατοι διατελῶσιν ὄντες."

πέλανος· Λυκȣ͂ργος ἐν τῷ περὶ τῆς ἱερείας. πολλάκις ἐςὶ τȣ͂νομα παρὰ πολλοῖς τῶν ἀρχαίων. Ἀπολλώνιος δ' ὁ Ἀχαρνεὺς ἐν τῷ περὶ τῶν ἑορτῶν ȣ῞τω γράφει "ὁμοίως δὲ ϗ ὁ προσαγορευόμενος πέλανος. λέγετ δὲ πέμματά τινα τοῖς θεοῖς γινόμενα ἐκ τȣ͂ ἀφαιρεθέντος σίτȣ ἐκ τῆς ἅλω." Σαννυρίων δ' ἐν Γέλωτί φησι "πέλανον καλȣ͂μεν ἡμεῖς οἱ θεοὶ ἃ καλεῖτε

1. § 2. 2. πάντη A. ἰόκας A, ἴωκας B. 5. Πασῖνος Maussacus et Isocratis Urbinas: cf. Ruhnken. Hist. crit. p. XLIII. § 18. 6 et 7. om C. 6. κύριον] ὁ AB. 7. πατταικίων A. κύριον om ABD. κλέπτȣ καὶ τοιχωρύχȣ D. 9. ἐςίν om A. ἀπὸ] ἢ ἀπὸ Toupius. sed D ἐκαλεῖτο δὲ ȣ῞τως ἀπὸ τȣ͂ σ. 10. τὰ] διὰ τὰ B. 11. ἔτι C. δὲ om A. 13. τῷ περὶ ἀρχιδάμȣ BC. § 53. 15. καλὸς C. 16. πεζαίτεροι BC, πεζαίτερος A. ἐν φιλ. D. Olynth. 2 17. α (η) C. 18. ἱππεῦσι BC. ἐθίσας D. 19. εἰς BC. 20. διελθὼν B. παιζετέρȣς D (ε, αι), πεζαιτέρȣς AC. 21. ἑταιρείας B. 22. τȣ͂νομά ἐςι B. 26. ἐκ τῆς — p. 150 4 λευκόν om C. Σαννυρίων M· lacunam AB. 27. φησι om B. καλȣ͂μεν — θεοὶ om in lacuna AB λεῖται AB.

σεμνῶς ἄλφιθ᾽ ὑμεῖς οἱ βροτοί." Δίδυμος δὲ κυρίως φησὶ τὸ ἐκ τῆς παιπάλης πέμμα, ἐξ ἧς ποιοῦνται πέμματα, ἢ ϗ ἀπὸ τοῦ πεπλατύνθαι, ἢ ὅτι λευκά ἐςιν· Ὅμηρος "ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας." ἢ διὰ τὸ φανὸν εἶναι, ὃ ἐςι λευκόν. Εὐριπίδης μέντοι ἐν τῷ Ὀρέςῃ ἰδίως φησὶν "ἐκ δ᾽ ὄμορξον ἀθλίου ςόματος ἀφρώδη πέλανον," ὅπερ τὸν ἐπὶ τοῦ ςόματος ἀφρὸν δηλοῖ.

πεντακοσιομέδιμνον· Λυσίας ἐν τῷ περὶ τῆς Ὀνομακλέους θυγατρός. ὅτι δ᾽ τέλη ἐποίησεν Ἀθηναίων ἁπάντων Σόλων, ὧν ἦσαν ϗ οἱ πεντακοσιομέδιμνοι, δεδήλωκεν Ἀριςοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Πεπάρηθος. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντός φησι "ϗ τὴν Πεπαρήθου πόρθησιν." νῆσός ἐςιν αὕτη οὐκ ἄποθεν Εὐβοίας.

Πείσων· Λυσίας ἐν τῷ κατ᾽ Ἐρατοσθένους. εἷς τῶν λ' τῶν παρ᾽ Ἀθηναίοις τυραννησάντων.

Πενέςαι· Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριςοκράτους. Πενέςαι παρὰ Θετταλοῖς καλοῦνται οἵπερ παρὰ Λακεδαιμονίοις Εἵλωτες· Ξενοφῶν γοῦν ἐν γ' Ἑλληνικῶν φησὶν ἐπί τινος "ϗ τοὺς Πενέςας ὥπλισεν ἐπὶ τοὺς δεσπότας." διείλεκται δὲ περὶ αὐτῶν ἐπὶ πλέον Στάφυλος ἐν τῇ γ' περὶ Θετταλῶν. οὐ μόνον δὲ αὐτοὺς Πενέςας καλεῖσθαί φησιν, ἀλλὰ ϗ Θετταλικέτας.

πεντηκόνταρχος ὁ τῆς πεντηκοντόρου ἄρχων, ὡς δηλοῖ Δημοσθένης ἐν τῷ περὶ τοῦ ἐπιτριηραρχήματος. ὅτι δὲ πεντηκόντορος ἐκαλεῖτο ἡ ναῦς ἡ ὑπὸ ν' ἐρεσσομένη, πρόδηλον.

πεντηκοςή ϗ πεντηκοςεύεσθαι ϗ πεντηκοςολόγοι. πεντηκοςὴ μὲν τέλος τι ϗ πεντηκοςολόγοι οἱ τοῦτο τὸ τέλος ἐκλέγοντες, πεντηκοςεύεσθαι δὲ τὸ πράττεσθαι τὴν πεντηκοςήν. ταῦτα δ᾽ ἔςιν εὑρεῖν ἔν τε τῷ κατὰ Μειδίου ϗ ἐν τῷ πρὸς

2. πάλης AD. 3. post ὅτι cum D omisi καί. Il. 10 7. ὅτ᾽ ἐπέρχεται χιὼν A. 5. v. 213. 8. πεντακοσιομέδιμνοι A. 9. τέτταρα C. ὁ σόλων D. 10. ἐν] ἐν τῇ BC. 12. § 70. 13. τῆς εὐβοίας C. 14. § 6. τῶν post λ' add C. 16. § 199. 18. γ^η C. est 2 3 36. 19. ςάφυλος ἐπὶ πλέον C. 20. γ'] δ A. 21. θετταλοικέτας B, quod volebat Schneiderus Saxo, θετταλικάς D. 22. πεντηκόνταρχος — 23. ὅτι] πεντηκόντορος ναῦς ἐν τῷ περὶ τριηραρχήματος δηλοῖ δημοσθένης. ὁ τῆς πεντηκοντόρου ἄρχων. ὅτι C. ὁ] ναῦς ὁ B. 23. τριηραρχήματος etiam B. § 19. 26. τι] ἐςὶ C. 27. τὸ D, ἐςι τὸ A, ἀντὶ τοῦ BC. 28. εὑρεῖν ἔςιν C. ἔν τε] καὶ ἐν B, ἐν C 166.

τὴν Λακρίτȣ παραγραφὴν Δημοσθένȣς, ϗ Ὑπερίδȣ ἐν τῷ περὶ τῶν Εὐβέλȣ δωρεῶν.

πέπλος· Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων. περὶ τȣ̃ πέπλȣ τȣ̃ ἀναγομένȣ τῇ Ἀθηνᾷ τοῖς μεγάλοις Παναθηναίοις ȣ̓ μόνον παρὰ τοῖς ῥήτορσίν ἐςι μνήμη, ἀλλὰ καὶ παρὰ τοῖς κωμικοῖς.

Περγασῆθεν· Ἰσαῖος ἐν τῷ κατὰ Θȣτίμȣ. Περγασὴ δῆμος τῆς Ἐρεχθηΐδος· τὸν μέντοι δημότην διχῶς λέγεσθαί φασι, Περγασέα τε ϗ Περγασῆθεν.

Περίανδρος ὄνομα κύριον.

περὶ τῆς ἐν Δελφοῖς σκιᾶς· Δημοσθένης Φιλιππικοῖς. Δίδυμός φησι τὴν περὶ ὄνȣ σκιᾶς παροιμίαν παραπεποιῆσθαι ὑπὸ τȣ̃ ῥήτορος λέγοντος περὶ τῆς ἐν Δελφοῖς σκιᾶς, λέγεσθαι δ' αὐτὴν ἐπὶ τοῖς περὶ τῶν μηδενὸς ἀξίων μαχομένοις.

Περιθοῖδαι· Δημοσθένης ἐν τῷ πρὸς Πολυκλέα. δῆμός ἐςι τῆς Οἰνηΐδος.

Περίλλος· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἔστι δὲ ὄνομα κύριον.

περίοδος. Δημοσθένης Φιλιππικοῖς φησὶν "ἐπεὶ ὅτι γε ὥσπερ περίοδος ἢ καταβολὴ πυρετȣ̃." περιοδικὰ νοσήματα καλȣ̃σιν οἱ ἰατροὶ τὰ τεταγμένως ἀνιέμενα ϗ αὖθις ἐπιτεινόμενα, οἷον τριταίȣς ϗ τεταρταίȣς· ϗ γὰρ ἐπὶ τȣ́των οἱ κάμνοντες δοκȣ̃σιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις μηδὲν νοσεῖν ἀλλ' ὑγιεῖς εἶναι.

περιοίκιον. Ἰσαῖος ἐν τῷ πρὸς Μενεκράτην "ϗ τὸ περιοίκιον ϗ τὴν οἰκίαν." μήποτε ὃ ἡμεῖς λέγομεν ἐποίκιον.

περίπολος· Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. Ἀριςοτέλης ἐν Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων φησὶν ȣ̔́τως "τὸν δεύτερον ἐνιαυτὸν ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης ἀποδεξάμενοι τῷ δήμῳ περὶ τὰς τάξεις ϗ λαβόντες ἀσπίδα ϗ δόρυ παρὰ τȣ̃ δήμȣ περιπολȣ̃σι τὴν χώραν ϗ διατρίβȣσιν ἐν

1. § 29. δημοσθένης A. καὶ om A. ὑπερίδης C. 3. Ἰσαῖος ἐν τῷ om BC. 4. ἐναγομένȣ B. 5. ἡ μνήμη D. 7. Περγασῆθεν — Θȣτίμȣ om C. θεοτίμȣ B. περγασαὶ Valesius. περγάση δῆμος B, δῆμος ἡ περγάση D. 8. φησι A. 10 — 23. om C. 11. Δημ. — 13. σκιᾶς om A. 11. ἐν φιλ. D. de pace extr. 15. περιθοῖ B: cf. Marx Ephori fr. p. 139. περικλέα B. § 41. 17. § 48. 19. Phil. 3 29. 20. ἡ AB. τȣ̃ πυρετȣ̃ N. 21. ἐπιτεινόμενα Dobraeus p. 588: codices ἐπιγινόμενα. 22. τȣ́τοις B. 23. τῶν om B. 24. περίοικον C. 26. § 167. 27. ἐν] ἐν τῇ CD. ȣ̔́τως] ὅπως CG. 28. γὰρ 29. ἀποδ. — τάξεις om D. τῷ δήμῳ περὶ] παρὰ τȣ̃ δήμȣ

τοῖς φυλακτηρίοις." παρατηρητέον ἒν ὅτι ὁ μὲν Ἀριςοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίγνεσθαι τὲς ἐφήβες, ὁ δὲ Αἰσχίνης δύο· ϗ τάχα διὰ τἒτο ἐπεμνήσθη τἒ πράγματος ὁ ῥήτωρ, καίπερ πάντων τῶν ἐφήβων ἐξ ἀνάγκης περιπολέντων, αὐτὸς δύο ἔτη γέγονεν ἐν τοῖς περιπόλοις· διὸ ϗ μαρτυρῶν ἐδήλωσεν αὐτό.

περίςατοι. Ἰσοκράτης περὶ τῆς ἀντιδόσεως "θαυματοποιίαις ταῖς ἐδὲν ὠφελέσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περιςάτοις γινομέναις" ἀντὶ τἒ περὶ ἃς κύκλῳ ἵςανται οἱ θεώμενοι. τὸ ὄνομα ϗ ἐν Ἀρχιδάμῳ ἐςὶ ϗ παρ' Εὐπόλιδι ἐν Κόλαξιν.

περίςασιν. Δείναρχος Τυρρηνικῷ "μετὰ ταῦτα τἒ Δάμωνος ἤδη περὶ ἀναγωγὴν ὄντα με περίςασιν ποιησαμένε ϗ μαρτυρεῖν ἀξιἒντος" ϗ τὰ ἑξῆς. μήποτε τοιἒτόν ἐςι τὸ λεγόμενον, ἐν κύκλῳ περιέςη με αὐτὸς ϗ οἱ συμπαρόντες αὐτῷ, ϗ μαρτυρεῖν ἠνάγκαζον, ἵνα τὴν αὐτὴν ἔννοιαν ἔχῃ τῷ περίςατόν με ἐποίησαν. ἐν ἐνίοις δὲ παράςασιν γράφεται.

περιςοιχίζεται. Δημοσθένης Φιλιππικοῖς φησὶ "μέλλοντας ἡμᾶς ϗ καθημένες περιςοιχίζεται" ἐκ μεταφορᾶς τῶν κυνηγετῶν· κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱςᾶσιν, ἃ καλἒσι ςοίχες ἢ ςόχες, καταπεταννύντες αὐτῶν δίκτυα, ἵν' ἐὰν αὐτὲς ἐκφύγῃ τὰ θηρία εἰς τὰ δίκτυα ἐμπέσῃ, ὡς ὑποσημαίνει Ξενοφῶν ἐν τῷ κυνηγετικῷ. ἐν ἐνίοις μέντοι γράφεται περιςοιχίζεται, ἐν ἄλλοις δὲ ϗ περιχοινίζεται.

περίςοιχοι. Δημοσθένης ἐν τῷ πρὸς Νικόςρατον περὶ τῶν Ἀρεθεσίε ἀνδραπόδων "φυτευτήρια ἐλαῶν περιςοίχων κατέκλασεν." Δίδυμος δέ τι γένος ἐλαιῶν περὶςοίχες καλεῖ, ἃς Φιλόχορος ςοιχάδας προσηγόρευσε. μήποτε δὲ περιςοίχες κέ-

1. τοῖς om C. ἒν] μὲν ἒν C. ὁ μὲν om BC. 3. ἐπεσεμνύθη O. 5. αὐτὸς] ὅτι αὐτὸς? ἐν add Iungermannus Polluc. 8 105. 6. αὐτῷ A. 7 — 10. om C. 7. § 269. 8. ταῖς om B. δὲ om A. γινομένοις AB. 10. ἐν] οἱ ἐν A. § 95. κόραξι B. 11. τυραννικῷ B. 12. ἤδη περιαγωγὴν BC. ποιήσαντος N, ποιήσεσιν ἒ A, ποιήσησιν οἷς BCG. 14. περιέςη με D, περιέςαι μὲν BC, περιέςηκεν AN. 15. ἠνέγκατον A, ἢ ἀναγκάζειν BC. τὸ ABCD. 16. ἐποίησεν ABN. παράςασις BC. 17. περισιχίζεται D. φιλιππικῷ ABC, ἐν φιλιππικοῖς D. Phil. 1 9 extr. 19. περιςᾶσιν C, περιςᾶσιν BG. 20. καλἒνται ςοῖχοι ἢ ςόχοι C. αὐτῶν τὰ δ. C. 21. ἐκφεύγῃ B. 22. τῷ om C. 6 5. μέντοι] μὲν BC. 24. § 15. 25. ἀρεθεσίας C. ἐλαῶν C: vulgo ἐλαιῶν. κατέκλασαν B. 26. Δίδυμος — καλεῖ om A, — ἃς om BC. 27. δὲ] δὲ νῦν B, om A.

κληκεν ὁ ῥήτωρ τὰς κύκλῳ περὶ τὸ χωρίον ἐν στοίχῳ πεφυκυίας.

πεφασμένης. Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος ἀντὶ τοῦ γεγενημένης. Λυσίας δ' ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος, φησὶ "τὸ μὲν πεφασμένως ἐστὶ φανερῶς."

πεφοριῶσθαι. Λυσίας ἐν τῇ πρὸς Πολυκράτην κατ' Ἐμπέδου ἐπιστολῇ, εἰ γνήσιος, φησὶν "ἢ τὸν ὀφθαλμὸν τὸν ἕτερον γλαυκότερον εἶναι ἢ πεφοριῶσθαι" ἐπὶ τοῦ ἀποκεκλεισμένου, ὥσπερ Εὐφορίων κέχρηται τῷ ὀνόματι· εἰσὶ γάρ τινες ὀφθαλμοὶ καταχεχαλασμένα ἔχοντες τὰ βλέφαρα καὶ οἱονεὶ μύοντες. ἐὰν δὲ γράφηται πεφορινῶσθαι, εἴη ἂν πεπαχύνθαι, ἀπὸ τῆς φορίνης· ὅτι γὰρ καὶ ἐπ' ἀνθρώπων τάσσουσι τὴν φορίνην, δῆλον ποιεῖ Ἀντιφῶν ἐν β' Ἀληθείας.

Πηγαί· Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος. Πηγαὶ τόπος ἐν Μεγάροις, ὡς ἐν δ' τῆς Ἀτθίδος φησὶν Ἑλλάνικος.

Πήληξ· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. δῆμός ἐστι τῆς Λεοντίδος Πήληκες, ὥς φησι Διόδωρος ὁ περιηγητής.

πινάκια τὰ καθιέμενα ἀντὶ κλήρων τοῖς κληρουμένοις. ἔοικε δ' εἶναι ταῦτα χαλκᾶ, ὡς ὑποσημαίνει Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος. ἐν δὲ τοῖς Φιλιππικοῖς ὅταν λέγῃ "μικρόν, ὦ Ἀθηναῖοι, μικρὸν πινάκιον πάντα τὰ ἐνταῦθα," τυχὸν πινάκιον λέγει εἰς ὃ ἐγγράφεται τὰ ἐγκλήματα τὰ κατὰ τῶν εἰσαγγελλομένων, ὡς καὶ παρὰ Δεινάρχῳ ἐν συνηγορίᾳ Αἰσχίνῃ δείκνυται.

Πιτθεύς. δῆμος τῆς Κεκροπίδος ἡ Πιτθός.

1. τὰς — πεφυκυίας N: τῶν — πεφυκότων ceteri. 3. γεγενημένου B. 4. λυσίας δὲ πεφασμένος ἀντὶ τοῦ φανερός λέγει D. δ' om C. I 19. 5. μὲν] δὲ C. 6. περιφωριάσθαι C, περιφοριῶσθαι G: cf. Bast. Corinth. p. 928. πολυκράτη A. 7. τῶν ὀφθαλμῶν CDGN. 8. περιφωριῶσθαι CG. ἀποκεκλεισμένου D, ἀποκεκλιμένου ABC. ὥσπερ om D. 9. ἐνφορίω A, ἐνφορείω BN: cf. Euphor. Meinek. p. 174. κεχαλασμένα D. 10. ὄμματα C. 11. πεστορινῶσθαι C. εἴη ἂν] δηλοῖ τὸ N. 12. γὰρ] δὲ B. 13. β$^{α'}$ C. περὶ ἀληθείας B. 14. ἐν τῷ om C. § 3. εἰ γνήσιος ὁ λόγος A, om C. 15. τετάρτῃ C. 16. § 139. 18. πινάκια] πινάκια. περὶ ὀνόματος εἴρηκε A. πινάκια. πιτθεὺς δῆμος τῆς κεκροπίδος ἡ πιτθός. περὶ ὀνόματος εἴρηκε B. τὰ — 19. ὑποσημαίνει om C. τοῖς κληρουμένοις om A. 19. ὡς ἑξῆς σημαίνει ὁ ῥήτωρ. ἐν δὲ τοῖς AB. ἐν — ὀνόματος om C. § 12. 20. δὲ τοῖς om C. de Chers. 28. 21. πάντα — πινάκιον om B. τυχὸν π. λέγει] ἔοικε λέγειν πινάκιον N. 23. αἰσχύνῃ A, αἰσχίνου B. 25. post 18. πινάκια B, post p. 155 10 φησίν A, om C.

πλειστηριάσαντες ἀντὶ τοῦ ὑπερβαλόντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην, εἰ γνήσιος. κέχρηται τῷ ὀνόματι καὶ Πλάτων ὁ κωμικὸς ἐν Γρυψίν.

πληρωτής· Δημοσθένης κατ' Ἀριστογείτονος. πληρωτὰς ἐκάλουν τοὺς ἀποδιδόντας τὸν ἔρανον τοῖς ἤτοι λαχοῦσιν ἢ ἐωνημένοις. εἶεν δ' ἂν οὗτοι οἱ παρ' ἡμῖν καλούμενοι ἐρανάρχαι. τὸ δὲ πληρωτής ὄνομα καὶ ἐν τῷ κατὰ Μειδίου, καὶ ἐν τῷ κατὰ τῶν Πατροκλέους παίδων Δείναρχος.

πλινθεῖον ὁ τόπος ἐν ᾧ πλίνθος πλάττεται· Λυσίας ἐν τῷ κατὰ Λυσιθέου.

Πλυντήρια· Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ἑορτὴ παρ' Ἀθηναίοις.

Πλωθεύς· Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. Πλωθειὰ δῆμος τῆς Αἰγηΐδος, ὅθεν ὁ δημότης Πλωθεύς.

ποδοστράβη· Ὑπερίδης ἔν τε τῷ κατ' Ἀθηνογένους καὶ ἐν τῷ κατ' Αὐτοκλέους. ποδοστράβας ἔλεγον μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατασκευαζόμενα, εἰς ἃ τὰ θηρία ἐμβαίνοντα ἡλίσκετο. διείλεκται Ξενοφῶν περὶ τῆς κατασκευῆς αὐτῶν ἐν τῷ περὶ κυνηγετικῶν καὶ τῆς χρήσεως.

ποδοκάκκη· Δημοσθένης κατὰ Τιμοκράτους. τὸ ξύλον τὸ ἐν τῷ δεσμωτηρίῳ οὕτως ἐκαλεῖτο, ἤτοι παρεμβεβλημένου τοῦ ἑτέρου κ̄, ποδῶν τις κάκωσις οὖσα, ἢ κατὰ συγκοπήν, ὥς φησι Δίδυμος, οἷον ποδοκατοχή. Λυσίας δ' ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος, ἐξηγεῖται τοὔνομα· φησὶ γὰρ "ἡ ποδοκάκκη αὐτό ἐστιν ὃ νῦν καλεῖται ἐν τῷ ξύλῳ δεδέσθαι."

πολιτεία. ἰδίως εἰώθασι τῷ ὀνόματι χρῆσθαι οἱ ῥήτορες ἐπὶ τῆς δημοκρατίας, ὥσπερ Ἰσοκράτης τε ἐν τῷ Πανηγυρικῷ καὶ Δημοσθένης ἐν Φιλιππικοῖς.

πολέμαρχος· Ἰσαῖος ἐν ἀπολογίᾳ ἀποστασίου πρὸς Ἀπολλόδωρον. ἀρχή τις ἦν παρ' Ἀθηναίοις οὕτω καλουμένη, ἔστι δὲ εἷς

1. τῇ om BC. 2. γν.] γν. ὁ λόγος A. 4. πληρωτός A. κατ'] ἐν τῷ κατ' BC. 1 21. 6. δ' om AB. 7. καὶ om B. § 101 et 184. τῶν om C. προκλέους AB. 8. Δεινάρχου? 9. πλίνθοι πλάττονται D. κατὰ om B. 13. τῷ B. § 38. πλωθία D, πλωθεῖα ABC. 15. ἐν om AB. τῷ om A. 17. κυνηγετικῶν A. ἐσβαίνοντα A, om C. 18. ἡλίσκοντο BC. ἐπὶ κατασκευῆς C. ἐν] καὶ τῶν ἐν C. 19. περὶ] κατὰ ABC. 9 11 — 20. 20. § 105. 21. τῷ add D. 23. ποδοκαταδοχήν C. δ' om BC. 1 16. 24. γν.] γν. ὁ λόγος A. 27. τῷ om BC. § 125. 28. ἐν τοῖς φ. A. Olynth. 1 5. 30. ἦν] ἐστι D. οὕτω — p. 155 1. Ἀθηναίων om BC.

τῶν θ' ἀρχόντων. Ἀριϛοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διεξελθὼν ὅσα διοικεῖ ὁ πολέμαρχος, "πρὸς ταῦτά" φησιν "αὐτός τε εἰσάγει δίκας τάς τε τȣ̃ ἀποϛασίȣ ϗ ἀπροϛασίȣ ϗ κλήρων ϗ ἐπικλήρων τοῖς μετοίκοις, ϗ τἆλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος." εἰκότως ȣ̃ν ὁ ῥήτωρ ἐν τῷ προειρημένῳ λόγῳ ἐγγυῆσαί φησι πρὸς τῷ πολεμάρχῳ Ἀπολλόδωρον· ὁ γὰρ Σάμιος τὸ γένος μέτοικος ἦν. ὅτι δὲ ϗ κύριον ὄνομα ὁ Πολέμαρχος τȣ̃ Λυσίȣ ἀδελφός, αὐτός τε ὁ Λυσίας ἐν τῷ κατ' Ἐρατοσθένȣς ϗ Πλάτων ἔν τε τῷ α' τῆς Πολιτείας ϗ ἐν Φαίδρῳ φησίν.

Πολίοχος ϗ Πολυάλκης ὀνόματα κύρια.

πομπείας ϗ πομπεύειν ἀντὶ τȣ̃ λοιδορίας ϗ λοιδορεῖν Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. μεταφέρει δὲ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν λοιδορȣμένων ἀλλήλοις· Μένανδρος Περινθίᾳ "ἐπὶ τῶν ἁμαξῶν εἰσὶ πομπεῖαί τινες σφόδρα λοίδοροι." πομπεῖα δὲ λέγετ(αι) τὰ εἰς τὰς πομπὰς κατασκευαζόμενα σκεύη, ὡς ὁ αὐτὸς ῥήτωρ κατ' Ἀνδροτίωνος ὑποσημαίνει. "πομπείοις δέ" φησι Φιλόχορος "πρότερον ἐχρῶντο οἱ Ἀθηναῖοι τοῖς ἐκ τῆς ȣ̓σίας τῶν λ' κατασκευασθεῖσιν. ὀψὲ δέ" φησι "ϗ Ἀνδροτίων ἄλλα κατεσκεύασεν."

Πόριος· Δημοσθένης ἐν τῇ πρὸς Εὐβȣλίδην ἐφέσει. Πόρος ἐϛὶ δῆμος τῆς Ἀκαμαντίδος· ὁ δὲ δημότης Πόριος.

Πορθμός· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. πόλις ἐϛὶ τῆς Εὐβοίας.

Πολύγνωτος· Λυκȣ̃ργος ἐν τῷ περὶ τῆς ἱερείας. περὶ Πολυγνώτȣ τȣ̃ ζωγράφȣ, Θασίȣ μὲν τὸ γένος, υἱȣ̃ δὲ ϗ μαθητȣ̃ Ἀγλαοφῶντος, τυχόντος δὲ τῆς Ἀθηναίων πολιτείας ἤτοι ἐπεὶ τὴν Ποικίλην ϛοὰν ἔγραψε προῖκα, ἢ ὡς ἕτεροι, τὰς ἐν τῷ θησαυρῷ ϗ τῷ ἀνακείῳ γραφάς, ἱϛορήκασιν ἄλλοι τε ϗ

2. πολέμαρχος :– C. 3. δικαϛάς τε AD et τε omissa N, καὶ δικαϛάς τε B. ἀπρ. καὶ ἀπ. N. καὶ ἀπροϛασίȣ om BD. 4. καὶ τἆλλα – 5. μετοίκοις om B. 6. ȣ̃ν – ἐν τῷ om AB. 7. Ἀπολλύδωρον om A, Ἀπολλόδωρον ὁ γὰρ om B. inter γὰρ et Σάμιος hiat A. 8. καὶ om B. Πολέμαρχος om D. 9. § 17. 10. p. 3 8. p. 61 5. 11. om C. πολίȣχος A. Πολυαλκής vulgo. 13. § 11 et 124. ἡ μεταφορὰ D. 14. ταῖς om ABCG. ἀλλήλαις BC. 16. δὲ om BD. 17. κατασκευασμένα D. ὡς] καὶ ABC. κατ'] ἐν τῷ κατ' C. § 48. 19. τοῖς add D. κατασκευασθεισῶν ABC. 21. τῷ B. 23. § 71. 26. τȣ̃ om B. μὲν om C. 28. ἔγραψε Valcken. Adoniaz. p. 374 A: vulgo ἀνέγραψε.

προςάτης. οἱ τῶν μετοίκων Ἀθήνησι προεςηκότες προςάται ἐκαλῦντο· ἀναγκαῖον γὰρ ἦν ἕκαςον τῶν μετοίκων πολίτην τινὰ Ἀθηναίων νέμειν προςάτην· Ὑπερίδης ἐν τῷ κατ' Ἀριςαγόρας. μέμνηται καὶ Μένανδρος ἐν ἀρχῇ τῆς Περινθίας.

προςασία. Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος "ταῦτα ὲχ ὁμολογεμένη προςασία;" ἀντὶ τῦ βοήθεια ὡς προϊςαμένε τινὸς καὶ ἐπικερῦντος τῷ ἀδικεμένῳ. Αἰχίνης ἐν τῷ περὶ τῆς πρεσβείας "ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προςασίαν τῆς Καδμείας." Δίδυμος τὴν προςασίαν φησὶ κεῖσθαι ἀντὶ τῦ προςάσεως, τετέςι τῆς ὑπ' ἐνίων προςάδος καλεμένης.

πρὸς τῇ πυλίδι Ἑρμῆς· Δημοσθένης ἐν τῷ κατ' Εὐέργου. Φιλόχορος ἐν τῇ ε' "Ἀθηναίων" φησὶν "ἀρξαμένων τειχίζειν τὸν Πειραιᾶ οἱ θ' ἄρχοντες τῦτον ἀναθέντες ἐπέγραψαν 'ἀρξάμενοι πρῶτοι τειχίζειν οἵδ' ἀνέθηκαν βελῆς καὶ δήμε δόγμασι πειθόμενοι.'"

προςιμήματα. ἔςι μέν τινα ἐν τοῖς νόμοις ὡρισμένα κατὰ τῶν ἀδικέντων, ὥσπερ ἡ ἐπωβελία παρ' Ἰσαίῳ ἐν τῷ κατὰ Διοκλέυς, ἔςι δὲ καὶ ἄλλα ἃ προςιμᾶται τὸ δικαςήριον, ὡς δείκνυσι Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτες.

προστρόπαιον. Αἰσχίνης περὶ τῆς πρεσβείας "ἐάσατε οὖν αὐτὸν τὸ τοιῦτον προςρόπαιον" ἀντὶ τῦ ἄγος καὶ τὸ μίασμα. καὶ *προςροπὴ* δὲ παρὰ τῦτο λέγεται· ἐν γῦν τῷ κατὰ Κτησιφῶντος ἐκ παραλλήλε τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ. κεῖται δὲ τῦτο τὸ ὄνομα καὶ παρὰ Δεινάρχῳ ἐν τῷ κατὰ Φορμισίου ἀσεβείας.

προτέλεια· Λυκῦργος ἐν τῷ περὶ τῆς ἱερείας. τὰ πρὸ τῦ τελεσθῆναί τι τῶν εἰς τὸ θεῖον ἀναφερομένων γινόμενα ἢ διδόμενα καλεῖται προτέλεια.

προφερεῖς οἱ νέοι μὲν ὄντες πρεσβύτεροι δὲ φαινόμενοι· Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχε.

2. καλοῦνται BC. 3. ἀθηναῖον D. ἀρισταγόρας : – BC. 5. 1 30. 6. ὡς add N. 7. ἐπικυρῦντος B. § 105. 8. προπύλαια om CN. 9. τῆς — προςασίαν om C. 10. τοῦ] τῆς D, om A. 12. πόλιδι B. ἑρμῦ D. εὐεργέτε BC. § 26. 14. οἱ θ'] ὅτ' C. τῦτο A. ὑπέγραψαν D. 15. βελῇ C. 17. προστίμημα D. 18. ἐπ' ὠφελεία BC. ἐν τῷ om B. 21. § 158. ἐάσατε] ὅσα τε ABC. 22. αὐτὸς A, αὐτὸ BC, C omisso τὸ. 23. παρὰ τῦτο om D. 25. καὶ om BC. φορμίωνος BC. 27. παρὰ B. τὰ] τὰ γὰρ A. 28. γινόμενα ἢ om pr B. 30. μὲν νέοι A. 31. § 49.

προσφορά ἀντὶ τȣ̃ πρόσοδος Ἀντιφῶν ἐν τῷ περὶ τȣ̃ Λινδίων φόρȣ. ϗ παρ᾽ ἄλλοις δὲ τȣ̓́νομα.

προχειροτονία. ἔοικεν Ἀθήνησι τοιȣ̃τό τι γίγνεσθαι, ὁπόταν τῆς βȣλῆς προβȣλευσάσης εἰσφέρηται εἰς τὸν δῆμον ἡ γνώμη· πρότερον γίνεται χειροτονία ἐν τῇ ἐκκλησίᾳ πότερον δοκεῖ περὶ τῶν προβȣλευθέντων σκέψασθαι τὸν δῆμον, ἢ ἀρκεῖ τὸ προβȣ́λευμα. ταῦτα δ᾽ ὑποσημαίνεται ἐν τῷ Λυσίȣ πρὸς τὴν Μιξιδήμȣ γραφήν.

Προχαιρητήρια· Λυκȣ̃ργος ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ. ἑορτὴ παρ᾽ Ἀθηναίοις γραφομένη ὅτε δοκεῖ ἀπιέναι ἡ Κόρη.

πρυτανεῖα· Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ. ἔςι δὲ ϗ παρὰ τοῖς ἄλλοις Ἀττικοῖς τὰ πρυτανεῖα· ἦν δὲ ἀργύριόν τι ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, ϗ ὁ φεύγων ϗ ὁ διώκων.

πρυτανείας· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ἔςι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι λϛ′ ἢ λε′, ϗ ἑκάςη φυλὴ πρυτανεύει. διείλεκται δὲ περὶ τȣ́των Ἀριςοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

πρυτανεύοντα κυρίως μὲν ἀντὶ τȣ̃ πρυτανέα ὄντα· ἀντὶ δὲ τȣ̃ διοικȣ̃ντα Δημοσθένης ἐν Φιλιππικοῖς. ἐν δὲ ἑτέρῳ Φιλιππικῷ "πρυτανευόμενοι" φησιν ἀντὶ τȣ̃ διοικȣ́μενοι ϗ διατρεφόμενοι.

πρυτάνεις. τὸ δέκατον μέρος τῆς βȣλῆς τῶν φ′, ν′ ἄνδρες ἀπὸ μιᾶς φυλῆς, οἱ διοικȣ̃ντες ἅπαντα τὰ ὑπὸ τῆς βȣλῆς πραττόμενα, πρυτάνεις ἐκαλȣ̃ντο. ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλαις αἱ ι′ φυλαὶ κλήρῳ λαχȣ̃σαι· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

Πτοιόδωρος· Δημοσθένης. ὄνομα κύριον.

Πυανόψια. Λυκȣ̃ργος ἐν τῷ κατὰ Μενεσαίχμȣ "ϗ ἡμεῖς Πυανόψια ταύτην τὴν ἑορτὴν καλȣ̃μεν, οἱ δ᾽ ἄλλοι Ἕλληνες Πα-

1. προφορά A. 3. τοιȣ̃τόν AD. 4. βȣλευσάσης DN. 5. πότερον] πρότερον A. 6. εἰ N. βȣ́λευμα BCN. 7. τῇ B. μιξιδάμȣ C. 9. προχαιρητήρια C. δικασία BC. 10. γινομένη N. quidni ἀγομένη? ἀνιέναι Valesius. ἡ om BC. 11. § 12. 16. ἤτοι] ἢ ἐκ C. λϛ′] λη A. 19. δὲ om BC. 20. Phil. 3 60. 21. διατρεφόμενοι N: vulgo διαςρεφόμενοι. 23. φυλῆς ABCN: v. Iungermann. Polluc. 8 155. 24. πραττόμενα D: vulgo ταττόμενα. 28. om C. ποιόδωρος AB. 29. ποιανεψία C, ποιανοψίαι AB, ποιανοψία ἢ πανοψία N, πτυανοψία D. πυανεψίαν C, ποιανοψίαν AB. 30. πανοψίαν codices.

νόψια, ὅτι πάντας εἶδον τὲς καρπὲς τῇ ὄψει." Ἀπολλώνιος ϰ̀ σχεδὸν πάντες οἱ περὶ τῶν Ἀθήνησιν ἑορτῶν γεγραφότες Πυανεψιῶνος ἑβδόμῃ Πυανέψια Ἀπόλλωνι ἄγεσθαί φασι. δεῖν δέ φασι λέγειν Πυανέψια, ϰ̀ τὸν μῆνα Πυανεψιῶνα· πύανα γὰρ ἕψεσιν ἐν αὐτοῖς ϰ̀ ἡ εἰρεσιώνη ἄγεται.

Πύγελα· Λυσίας ἐν τῷ ὑπὲρ Βακχίε, εἰ γνήσιος. πόλις ἐςὶν ἐν τῇ Ἰωνίᾳ τὰ Πύγελα, ἥν Θεόπομπός φησιν ἐν ϛʹ λαβεῖν τὔνομα ἐπειδὴ τῶν μετ' Ἀγαμέμνονός τινες διὰ νόσον τὴν περὶ τὰς πυγὰς ἐνταῦθα κατέμειναν.

πτώματα ἐλαιῶν· Λυσίας ἐν τῷ κατὰ Νικίδε. λέγοι ἂν ἤτοι τὸν καρπὸν τὸν ἀποπεπτωκότα τῶν φυτῶν, ἢ αὐτὰ τὰ δένδρα κατά τινα τύχην πεπτωκότα.

πυελίδα τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον Λυσίας ἐν τῷ κατ' Εὐφήμε ϰ̀ Ἀριςοφάνης Ἥρωσιν.

Πυθαεία· Ὑπερίδης πρὸς Ἀπελλαῖον. ἄπορον πῶς ἀπὸ τέτε ἐχημάτιςαι παρὰ τῷ Διδύμῳ· ϰ̀ γὰρ ἐ δι' ὧν παρέθετο ὁ γραμματικὸς ὠνόμασε τὰ Πύθια ἑορτήν, ἀλλὰ τὸν Πύθιον Ἀπόλλωνα.

Πυκνί. Ὑπερίδης ἐν τῷ ὑπὲρ Χαιρεφίλε αʹ φησὶ "ϰ̀ τῆς Πυκνὸς τοσὅτον εὑρισκέσης." ἡ τῶν Ἀθηναίων ἐκκλησία ὅτως ἐκαλεῖτο. πολλὴ δ' ἡ μνήμη αὐτῆς παρ' Ἀττικοῖς. Κλείδημος δ' ἐν γʹ Πρωτογονίας "συνῄεσάν" φησιν "εἰς τὴν Πύκνα ὀνομασθεῖσαν διὰ τὸ τὴν συνοίκησιν πυκνεμένην εἶναι."

Πύλαι ϰ̀ Πυλαία ϰ̀ Πυλαγόρας. Πύλαι μὲν καλὅνται αἱ Θερμοπύλαι· Δημοσθένης Φιλιππικοῖς. ἐκλήθησαν δ' ὅτω διὰ τὸ στενὴν εἶναι ταύτην τὴν εἴσοδον ἀπὸ Θετταλίας εἰς Φωκίδα πορευομένοις. Πυλαία δ' ἐκαλεῖτο ἡ εἰς τὰς Πύλας σύνοδος τῶν Ἀμφικτυόνων· Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

1. τὲς om A. 2. καὶ] δὲ καὶ N. πάντες add C. 3. πυανεψίαν BCG. ἀπολλώνιος A. φησι codices. 4. πυανεψίαν C. 5. αὐτοῖς D, αὐτῇ ABC. ἡ om N. 6. ὑπὲρ ἐκβακχείε B, ὑπὲρ ἐκβακχίε CG. γνήσιος] γνήσιος ὁ λόγος A. 7. ἐν] ἐν τῇ BC. 8. διὰ — περὶ] νοσήσαντες D. διὰ] διὰ τὴν BC. 9. πηγὰς BC. 12. τύχην τινὰ C. 15 — 17. om C. 15. πυθακία B, πύθια D, D additis his, ἑορτὴ τῶ πυθίε ἀπόλλωνος :— πρὸς om B. ἀπαλλαῖον B. ἀπορῶν AB. 16. δήμῳ B. δι'] δεῖ B. 17. πύθια] τάθεα B. 18 et 21. πνυκί, πνυκός, πνύκα codices : correxit Valesius. 18. χεραιφίλε ᾱ φησι B. ᾱ φησι etiam C. 20. αὐτῆς] αὐτοῖς C. 21. ἐν] ἐν τῷ BC. πρωτογονείας A. 22. τὸ om C. 23. πυλαγόραι A. 24. Phil. I 17. 25. τὸ] τὸ ἀπὸ θαλαττίαν C. ἀπὸ θαλαττίας B, om C. εἰς] εἰς τὴν AB. 27. § 154.

ὅτι δέ τις ἐγίγνετο σύνοδος τῶν Ἀμφικτυόνων εἰς Πύλας, Ὑπερίδης τε ἐν ἐπιταφίῳ ϗ Θεόπομπος ἐν τῇ λ' εἰρήκασιν. ἐπέμποντο δ' ἐκ τῶν πόλεων τῶν μετεχȣσῶν τῆς Ἀμφικτυονίας τινὲς οἵπερ ἐκαλȣ̃ντο Πυλαγόραι· μνημονεύȣσι δὲ ϗ τȣ́των πολλοί, ὥσπερ ϗ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ϗ Ἀριςοφάνης ἐν δευτέραις Θεσμοφοριαζȣ́σαις.

Πυριλάμπης· Ἀντιφῶν ἐν τῷ περὶ τῶν ταῶν. ὄνομα κύριον.

Πύρρα· Λυσίας ἐν τῷ κατὰ Θρασυβȣ́λȣ, εἰ γνήσιος. Πύρρα μία πόλις ἐςὶ τῶν ἐν Λέσβῳ, ὡς μαρτυρȣ̃σιν οἱ τὰς περιόδȣς γράψαντες.

πωληταὶ ϗ πωλητήριον. οἱ μὲν πωληταὶ ἀρχή τίς ἐστιν Ἀθήνησι, ι' τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάςης· διοικȣ̃σι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τέλη ϗ μέταλλα ϗ μισθώσεις ϗ τὰ δημευόμενα· Ὑπερίδης ἐν τῷ κατ' Ἀριςαγόρας β'. διείλεκται δὲ περὶ αὐτῶν ϗ Ἀριςοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. πωλητήριον δὲ καλεῖται ὁ τόπος ἔνθα συνεδρεύȣσιν οἱ πωληταί· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρȣ πολλάκις.

πώλας ἀντὶ τȣ̃ πράσεις Ὑπερίδης ἐν τῷ πρὸς Ἀπελλαῖον. ἔςι τȣ̉́νομα ϗ ἐν τοῖς Σώφρονος Ἀνδρείοις.

πωλῶσι. Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας "ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφασμένως." Δίδυμός φησιν ἀντὶ τȣ̃ πορνεύωσι φανερῶς· πωλεῖν γὰρ τὸ παρέχειν ἑαυτὴν τοῖς βȣλομένοις, ὅθεν ϗ τὸ πορνεύειν, ὅπερ ἐςὶ περνάναι. ἐγὼ δέ φημι ὅτι κυρίως ἔταξε νῦν ὁ ῥήτωρ τὸ πωλεῖν· φησὶ γὰρ τὸν νόμον ȣ̓κ ἐᾶν ἐπὶ ταύτης μοιχὸν λαβεῖν, ὁπόσαι ἂν ἐπ' ἐργαςηρίȣ κάθωνται ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφασμένως.

πώμαλα ἀντὶ τȣ̃ ȣ̓δαμῶς Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ἔστι δὲ τὸ μὲν πῶ Δώριον, τιθέμενον ἀντὶ τȣ̃ πόθεν· τὸ δὲ μάλα ἤτοι παρέλκει ἢ ἔστιν ἐν ποσοῖς λεγόμενον πώμαλα οἷον ȣ̓ μάλα, οὐ πάνυ. πολὺ δ' ἐστὶν ἐν τῇ ἀρχαίᾳ κωμῳ-

2. ἐπιγραφίῳ C. τῇ om BC. 5. καὶ Δ. om C. § 149. 6. ἀριςοφάνης τε AB. 7. πυραλαμπής A. 8. πύρραι BC. γν.] γν. ὁ λόγος A. 15. καὶ add C. 18. ἀπαλλαῖον BC. 20. § 67. 21. πορνεύȣσι codices. 22. ἑαυτὸν A. 23. ὃ N. περάναι CD, περᾶναι B. 24. ȣ̓κ ἐᾶν τὸν νόμον A. 25. ταύταις N. ἐπ'] ὑπὲρ BC. κάθηνται B. 27. § 51. 28. δὲ om BC. 29. ἢ D. παρέλκον CDG. πόσοις AB. 30. οἷον ȣ̓] ἀντὶ τȣ̃ BCG. μάλα : – D.

δίᾳ· Ἀριςοφάνης "λοιδορία τις ἐγένεθ' ὑμῖν; πώμαλα, ὐδὲν εἶπον ὐδενί."

ῥαΐσας ἀντὶ τῦ ῥᾷον ἔχων ἐκ τῆς νόσυ Δημοσθένης Φιλιππικοῖς.

Ῥηναία· Ὑπερίδης Δηλιακῷ. ἔςι δὲ νῆσος πλησίον Δήλυ.

ῥητορικὴ γραφή· Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην. ἔοικε ῥητορικὴ γραφὴ καλεῖσθαι ἡ κατὰ ῥήτορος γράψαντός τι ἢ εἰπόντος ἢ πράξαντος παράνομον, ὥσπερ λέγεται καὶ πρυτανικὴ ἡ κατὰ πρυτάνεως καὶ ἐπιςατικὴ ἡ κατ' ἐπιςάτυ. ἴσως δὲ καὶ κατὰ τῦτο ῥητορικαὶ γραφαί τινες καλῦνται, ὅτι κατὰ διαφόρυς νόμυς αἱ κατὰ τῶν ῥητόρων γραφαὶ εἰσάγονται, ὡς Ἀντιφῶν ἐν τῷ κατὰ πρυτάνεως, εἰ γνήσιος, ὑποσημαίνει.

Ῥίνων· Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ. κύριον.

Ῥοδογύνη γυνὴ μὲν Ὑςάσπυ, Ξέρξυ δὲ καὶ Δαρείυ μήτηρ.

ῥοδωνιά· Δημοσθένης ἐν τῷ περὶ τῶν Ἀρεθυσίυ ἀνδραπόδων. ῥοδωνιά ἐςιν ἡ τῶν ῥόδων φυτεία, ὥσπερ ἰωνιὰ ἡ τῶν ἴων, ὡς Ἑκαταῖος ἐν α' περιηγήσεως δηλοῖ.

ῥόθιον· Ὑπερίδης ἐν τῷ περὶ τῦ Πολύευκτον ςρατηγεῖν. ῥόθιον καλεῖται παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκυόμενον, ὅταν σφοδρῶς ἐλαύνωσιν. τὔνομα παρὰ πολλοῖς καὶ παρ' Ἀριςοφάνει ἐν Ἱππεῦσι καὶ Θυκυδίδῃ ἐν δ'.

ῥόπτρον. Λυσίας κατ' Ἀνδοκίδυ ἀσεβείας "ἔδησε τὸν ἵππον ἐκ τῦ ῥόπτρυ τοῦ ἱερῦ." νῦν τὸν τῆς θύρας κρίκον λέγει, ὡς καὶ ἄλλοι, Ἀριςοφάνης Ἀμφιάρεῳ, Ξενοφῶν Ἑλληνικῶν ς'.

ῥυτά συνεςαλμένως εἶδος ποτηρίυ· Δημοσθένης κατὰ Μειδίυ. ἐκτεταμένως τὰ παρ' ἡμῖν λεγόμενα ὁμοίως Κρατῖνος ἐν Ὥραις.

Σαβοί· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. οἱ μὲν Σαβὺς λέγεσθαι

1. ἐγεννήθ' ἡμῖν BCG. ὐδενὶ A, ὐδὲ BCG. 2. ὐδέν C, ὐδένιν B. 3. ῥᾶον D, ῥᾴως ABCG. ἔςχον ABG. an σχὼν? Olynth. 1 13. 7. τινος C. 8. λέγεται om D. καὶ ante ὥσπερ A. 10. ῥητ.] καὶ ῥητ. B. γραφαί om BC. κατὰ om ABCD. 12. γν.] γν. ὁ λόγος A. 13. ἰσαῖος B: cf. Bast. Corinth. p. 814. § 6. ὄνομα κύριον D. 15. ἀρεθυσίων BC. § 16. 16. ὥσπερ ἡ ἐκ τῶν ἴων ἰωνιά C. 17. $α^{η}$ C. 18. πολυεύκτυ B. 20. σφόδρα C. 21. Θυκυδίδης ABC. $α^{η}$ C. est 4 10. 22. ῥόπτον BC. ἐν τῷ κατ' C. § 1. ἔλυσε C. 23. ῥόπτυ BC, ῥόπνυ D. 24. η ABO. est 6 4 36. 25. εἶδος] εἶδός ἐςι A. § 158. 26. τὰ add C. 28. ἐν τῷ ὑπὲρ C. § 260. σαβοὶ BCG.

τοὺς τελουμένους τῷ Σαβαζίῳ, τουτέστι τῷ Διονύσῳ, καθάπερ τοὺς τῷ Βάκχῳ Βάκχους. τὸν δὲ αὐτὸν εἶναι Σαβάζιον ϗ Διόνυσόν φασιν ἄλλοι τε ϗ Ἀμφίθεος β΄ περὶ Ἡρακλείας. οὕτω δέ φασι ϗ τοὺς Ἕλληνάς τινες τοὺς Βάκχους Σαβοὺς καλεῖν. Μνασέας δὲ ὁ Πατρεὺς υἱὸν εἶναί φησι τοῦ Διονύσου Σαβάζιον.

σείρινα· Λυκοῦργος περὶ τῆς διοικήσεως "σείρινα." σείριον ἐκάλουν λεπτὸν ἱμάτιον ἀσπάθητον, οἷον θέριστρον, καθά φασιν οἱ γλωσσογράφοι. ϗ σειρὴν δὲ ὁ λεπτὸς ϗ διαφανὴς χιτών, εὔθετος τότε ὅτε ἐστὶν ὁ Σείριος. ἔστι δὲ ϗ Σεῖρις πόλις Ἰταλική, ϗ τάχα τἀκεῖθεν ὑφάσματα ἤ τινα ἄλλα σείρινα εἶπεν ὁ ῥήτωρ. ἐν ἐνίοις μέντοι χωρὶς τοῦ ε γράφεται σίρινα.

σεμναὶ θεαί. οὕτω καλοῦσιν Ἀθηναῖοι τὰς Ἐρινύας.

Σέρρειον τεῖχος ϗ Σίριον ὀνόματα χωρίων.

σεσημασμένῳ ἀντὶ τοῦ ἐσφραγισμένῳ Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος, Ὑπερίδης ἐν τῷ κατ' Ἀντίου ὀρφανικῷ.

Σεύθης· Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου. ἔστι δὲ εἷς τῶν ἐν Θρᾴκῃ βασιλέων.

σηκός. ἐπιγράφεταί τις λόγος Λυσίου ἐν τῇ τῆς εὐσεβείας περὶ τοῦ σηκοῦ ἀπολογίᾳ, ἐν ᾧ δῆλόν ἐστιν ὡς περὶ ἐλαίας ἐκκοπείσης ὁ λόγος ἐστί. γράφει δὲ ϗ ταυτὶ ὁ ῥήτωρ "ὃς δύο ἔτη ἐγεώργησεν οὔτε ἰδίαν ἐλαίαν οὔτε μορίαν οὔτε σηκὸν παραλαβών." μήποτε οὖν τὰς μὲν ἰδιωτικὰς ἐλαίας καλοῦσι, τὰς δὲ δημοσίας μορίας· σηκὸν δέ, ὡς ἔοικε, ϗ μορίαν ὀνομάζουσι τὴν αὐτήν.

Σηράγγιον· Λυσίας ἐν τῷ κατ' Ἀνδροτίωνος. χωρίον τι τοῦ Πειραιῶς οὕτως ἐκαλεῖτο. μνημονεύει δ' αὐτοῦ ϗ Ἀριστοφάνης ἐν Γεωργοῖς.

1. σαβαξίῳ et 2. σαβάξιον ABCG. 3. ἀμφιέλεος C, ἀμφιελέος G, ἀμφιέλεως B. ἐν β^ω C. ἡρακλέους BCG. 4. τινες om BCG. καλεῖσθαι C. μνασίας BCG. 5. παταρεὺς A. τοῦ] τοῦ σαου D. σαβάδιον ABG, τὸν σαβάδιον C. 6. σείρινα — διοικήσεως om D. σειρῆνας. σειρίον ABCG, σέρινα. σηρίον D. 9. πόλις σεῖρις N. ἀττική BCG. 10. τὰ ἔνθεν ABG. εἶ BCG. 11. ἐν om BG. σσίρινα C. 13. Σίριον] σίρριον A, σείριον C. ὄνομα χωρίου CG. 14. σεσημασμένην ἀντὶ τοῦ ἐσφραγισμένην N. 15. § 17, ubi est σεσημασμένων. 16. εἷς D, τις ABCG. 18. τῇ] τοῖς AB. τῆς] τῆς τῆς A. ἀσεβείας Valesius. 20. ὡς A, om cum ipsis δύο ἔτη C. 21. ἐγεώργησεν ante ἔτη BD, post ἰδίαν C. ἰδίαν] τι ἰδίαν A. 22. ἰδ.] δημοτικὰς C. δὲ om A. 25. σησάγγιον BG. Λ. — Ἀνδρ. om BCG. 26. πειραιέως A. καὶ om BCG.

σημεῖα. ἔτω λέγεσι τὰς σφραγῖδας· Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον.

Σθένελος· Λυσίας ἐν τῷ πρὸς Διογένην. ϗ ἐν ταῖς Διδασκαλίαις εὑρίσκεθ' ὁ Σθένελος τραγῳδίας ποιητής. ἐκωμῴδει δὲ αὐτὸν ὁ τὲς Πλάτωνος Λάκωνας γράψας ὡς τἀλλότρια ἔπη σφετεριζόμενον.

Σίγειον· Δημοσθένης Φιλιππικοῖς. πόλις ἐςὶ τῆς Τρῳάδος, ἐκ ἄποθεν τῦ Ἰλίυ.

Σιμός· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. εἷς τῶν Ἀλευαδῶν ὅτός ἐςι τῶν δοκέντων συμπρᾶξαι τῷ Μακεδόνι.

Σίμων ὄνομα κύριον.

Σιμύλος. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντός φησιν "ἀλλὰ μισθώσας ἑαυτὸν τοῖς βαρυςόνοις ὑποκριταῖς Σιμύλῳ ϗ Σωκράτει."

Σινώπη· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. Ἡρόδικος ἐν γ' Κωμῳδεμένων φησὶν ὅτι Σινώπη ἡ ἑταίρα Ἄβυδος ἐλέγετο διὰ τὸ γραῦς εἶναι.

σιπύα· Λυσίας ἐν τῷ περὶ ἠμικληρίυ τῶν Μακαρτάτυ χρημάτων. σιτηρὸν ἀγγεῖόν ἐςιν ἡ σιπύα, ἔςι δὲ πολλάκις παρὰ τοῖς ἀρχαίοις κωμικοῖς· Εὔπολις Χρυσῷ γένει, Ἀριςοφάνης Τελμισεῦσιν.

σιτηρέσιον τὸ διδόμενόν τισιν εἰς τροφήν· Δημοσθένης ἐν τῷ περὶ τριηραρχήματος.

σῖτος· Δημοσθένης ἐν τῷ κατ' Ἀφόβυ α'. σῖτος καλεῖται ἡ διδομένη πρόσοδος εἰς τροφὴν ταῖς γυναιξὶν ἢ τοῖς ὀρφανοῖς, ὡς ἐξ ἄλλων μαθεῖν ἔςι ϗ ἐκ τῦ Σόλωνος α' ἄξονος ϗ ἐκ τῆς Ἀριςοτέλυς Ἀθηναίων πολιτείας. Τιμαχίδας δὲ ἡγεῖται παρὰ τοῖς Ἀττικοῖς σῖτον λέγεσθαι τὸν τόκον, ἀγνοεῖ δὲ ὅτι ἐν ἀνθ' ἑνὸς ὐδέποτε παρ' αὐτοῖς ὁ τόκος σῖτος καλεῖται.

1. σφραγῖδας om C. § 2. 4. ὁ Σθένελος] δὲ C. 5. πλάτωνας, omisso Λάκωνας, BCG. 6. ἐπισφετεριζόμενος AB, ἐπισφετεριζόμενον C: correxit Dobraeus p. 588. 7. Olynth. 2 28. 9. σιμὰς CG. § 48. 10. πρᾶξαι pr B. 11. om CG. 12. σιμῦλος BD, σιμύλω C. ἐν τῷ om C. § 262. φησιν om C. 13. τοῖς om CG. βαρυτόνοις A, βαρυςόνυ B, βαρυτάτοις CG. 15. ἐν τῷ ὑπὲρ C. Κτ.] immo Ἀνδροτ. 56. ἡρόδικος O, ἡρόδοτος BCG. Ἡρόδικος — Κωμῳδυμένων om A. περὶ κωμῳδ. B, περὶ τῶν κ. CG. 16. ἑτέρα B. ἄβυλος B, ἄβυλος CG. 20. καὶ εὔπολις B. χρυσῷ γένει Hemsterhus. Polluc. 10 63: codices χρυσογένει. 22 — 23. om BCG. § 10. 24. ἐν τῷ om ABG. § 15. καλεῖται σῖτος καὶ ἡ D. 26. ἄξονον AB.

σιτοφύλακες· Δείναρχος ἐν τῇ Καλλισθένους εἰσαγγελίᾳ. ἀρχή τις ἦν Ἀθήνησιν ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν ιε΄, ι΄ μὲν ἐν ἄστει ε΄ δ᾽ ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Σκαμβωνίδαι· Λυκοῦργος ἐν διαδικασίᾳ Κροκωνιδῶν. ἔστι δὲ δῆμος τῆς Λεοντίδος.

σκαφηφόροι. Δείναρχος ἐν τῷ κατὰ Ἀγασικλέους φησὶν "οἳ ἀντὶ σκαφηφόρων ἔφηβοι εἰς τὴν ἀκρόπολιν ἀναβήσονται, οὐχ ὑμῖν ἔχοντες χάριν τῆς πολιτείας ἀλλὰ τῷ τούτου ἀργυρίῳ," ἀντὶ τοῦ μέτοικοι· οὗτοι γὰρ ἐσκαφηφόρουν Ἀθήνησι. Δημήτριος γοῦν ἐν γ΄ Νομοθεσίας φησὶν ὅτι προσέταττεν ὁ νόμος τοῖς μετοίκοις ἐν ταῖς πομπαῖς αὐτοὺς μὲν σκάφας φέρειν, τὰς δὲ θυγατέρας αὐτῶν ὑδρεῖα καὶ σκιάδια. διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν ι΄ Νόμων.

σκαφίον· Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ. ὅτι δὲ τὸ σκαφίον εἶδος κουρᾶς, καὶ Ἀριστοφάνης Γήρᾳ.

σκευοποιοῦντα τὸ πρᾶγμα Ὑπερίδης ἐν τῷ κατὰ Μαντιθέου ἀντὶ τοῦ σκευωρούμενον καὶ κατασκευάζοντα καὶ πλαττόμενον.

σκηνίτης. Ἰσοκράτης Τραπεζιτικῷ "Πυθόδωρον γὰρ τὸν σκηνίτην καλούμενον." ἔοικεν ἐπώνυμον εἶναι, μήποτε δὲ ὡς ἀγοραῖον καλούμενον, ἐπειδὴ ἐν σκηναῖς ἐπιπράσκετο πολλὰ τῶν ὠνίων.

σκηνὴν δὲ ἣν ἔχουσιν, οὐδὲ γὰρ ταύτην λαβόντες ἀναφέρουσι· Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν. ἔοικε δὲ σκευός τι εἶναι, ὅπερ οἱ μὲν κόσμον τινὰ γυναικεῖον εἶναί φασιν, οἱ δὲ σκιάδιον.

Σκῆψις· Δημοσθένης κατ᾽ Ἀριστοκράτους. πόλις ἐστὶν ἐν Τροίᾳ, ἧς μνημονεύουσιν ἄλλοι τε καὶ Ἔφορος ἐν ιε΄.

Σκίαθος· Δημοσθένης Φιλιππικοῖς. νῆσός ἐστι πλησίον Εὐβοίας.

Σκιάποδες· Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶ Λι-

1. ἀγγελία CG. 3. δικαίως] δια BCG. 4. ι΄ add Valesius. δ᾽ ἐν] δὲ B. 6. ἐν] ἐν τῇ C. 8. κατὰ om CG. ἀγησικλέους D. 10. ἡμῖν BCDG. 12. δῆμος C. 14. ὑδρίας B, τὰ ὑδρία D. σκιάδεια AB. 15. ἐν ιη΄ C, ἐνὶ B. τῶν νόμων AB. 16. Ἀντιφῶν om pr B. τὴν Δημοσθένους] διογένους BCG. 17. ὅτι δὲ] ὧν BG, om C. 18. σκευοφοροῦντα B. τὸ πρᾶγμα om BCG. 20. § 33. 24. φέρουσι C, om ABG. 25. § 11. 27. σκιάδειον A. 28. διογένης BCG. § 154. 29. ἐν] ἐν τῇ AB. 30. Phil. 1 32.

βυκόν. Κτησίας ἐν περίπλῳ Ἀσίας φησὶν "ὑπὲρ δὲ τούτων Σκιάποδες ὄνομα τούς τε πόδας ὥσπερ οἱ χῆνες ἔχουσι κάρτα πλατέας, ϗ ὅταν θέρμη ᾖ, ὕπτιοι ἀναπεσόντες, ἄραντες τὰ σκέλη σκιάζονται τοῖς ποσίν."

σκίρον· Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. Σκίρα ἑορτὴ παρ' Ἀθηναίοις, ἀφ' ἧς ϗ ὁ μὴν Σκιροφοριών. φασὶ δὲ οἱ γράψαντες περί τε ἑορτῶν ϗ μηνῶν Ἀθήνησιν, ὧν ἐστὶ ϗ Λυσιμαχίδης, ὡς τὸ σκίρον σκιάδιόν ἐστι μέγα, ὑφ' ᾧ φερομένῳ ἐξ ἀκροπόλεως εἴς τινα τόπον καλούμενον Σκίρον πορεύονται ἥ τε τῆς Ἀθηνᾶς ἱέρεια ϗ ὁ τοῦ Ποσειδῶνος ἱερεὺς ϗ ὁ τοῦ Ἡλίου. κομίζουσι δὲ τοῦτο Ἐτεοβουτάδαι. σύμβολον δὲ τοῦτο γίνεται τοῦ δεῖν οἰκοδομεῖν ϗ σκέπας ποιεῖν, ὡς τούτου τοῦ χρόνου ἀρίστου ὄντος πρὸς οἰκοδομίαν. ϗ Ἀθηνᾶν δὲ Σκιράδα τιμῶσιν Ἀθηναῖοι, ἣν Φιλόχορος μὲν ἐν β' Ἀτθίδος ἀπὸ Σκίρου τινὸς Ἐλευσινίου μάντεως κεκλῆσθαι, Πράξιων δὲ ἐν β' Μεγαρικῶν ἀπὸ Σκίρωνος.

σκιράφια· Δείναρχος ἐν τῷ κατὰ Προξένου. σκιράφια ἔλεγον τὰ κυβευτήρια, ἐπειδὴ διέτριβον ἐν Σκίρῳ οἱ κυβεύοντες, ὡς Θεόπομπος ἐν τῇ ν' ὑποσημαίνει.

Σκυθικαί· Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου ϗ Πυθαγόρου, εἰ γνήσιος. εἶδός τι ὑποδήματός εἰσιν αἱ Σκυθικαί. ϗ Ἀλκαῖος ἐν η' "ϗ Σκυθικὰς ὑποδησάμενος."

Σμικυθίων· Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. ὄνομα κύριον.

Σόλοι· Ἰσοκράτης Εὐαγόρᾳ. Σόλοι ἡ μὲν Κυπρικὴ πόλις, ἡ δὲ τῆς Κιλικίας, ὡς ἄλλοι τε ἱστοροῦσι ϗ Ἔφορος ἐν τῇ ε'.

Σπαρτωλός· Ἀντιφῶν ἐν τῷ ἐπιγραφομένῳ 'ἐπιτροπικὸς Τιμοκράτει.' πόλις ἐστὶ τῆς Βοττικῆς ἡ Σπαρτωλός.

2. ὄνομα] οἷ D. ὥσπερ] οἷους D. 3. ἄραντες τὰ σκέλη om C. 5. σκιρὸν G. 6. ὁ μὴν om C. 8. σκιρὸν ABCG. μετὰ ὕφω A, μετὰ ὑπο BG, om C, φερομένων B, φερόμενον CG. 9. πορνεύονται D, πορεύονται δὲ C. 10. ὁ om BCG. ἱερεὺς post Ἡλίου C. 11. σύμβυλον A, σίμβλον B, σημεῖον C et corr G, γινόμενον A. 12. σκίψας CG. 13. πρὸς] ἐς C, σκιρράδα B. 14. ἐν om BCG. σκίρρου B. 15. ἐλευσίου BG, παραξίων G. δὲ om ABCG. δευτέρῳ D, 17. Δ. — Πρ. post 18, κυβεύοντες BG, om C. σκιρ. ἔλεγον om BCG. 18. ἐν σκίρῳ Valesius, σκίρῳ D, σκίρωνι ABCG. ὡς] καὶ BCG, 20. βακχίου C. πυθαγόρας ABCG. εἰ γνήσιος ὁ λόγος A, om CG. 21. ἐστιν C. 22. η'] ὁ D, καὶ om BCDG. 23. § 169. 25. § 27. Σόλοι ἡ] οἱ C. 27. περιγραφομένω B, τιμοκράτης A, τιμοκράτω B, 28. βοτικῆς BCG, βοιωτικῆς A.

σπερμολόγος· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. λέγεταί τι μικρὸν ὀρνιθάριον κολοιῶδες σπερμολόγος, ὠνομασμένον, ὡς ἔοικεν, ἀπὸ τȣ̃ τὰ σπέρματα ἀναλέγειν, ȣ̃ μνημονεύει Ἀριςοφάνης ἐν Ὄρνισι. λέγεϑ ȣ̃ν ἀπὸ τȣ́τȣ ὁ εὐτελὴς ϗ εὐκαταφρόνητος ἄνθρωπος ϗ ἴσως ἀπὸ τῶν ἀλλοτρίων διαζῶν σπερμολόγος.

στασιώτης. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταςάσεως "περὶ τοίνυν ὧν Ἀπόληξις κατηγόρηκεν, ὡς ςασιώτης ἦν ἐγὼ ϗ ὁ πάππος ὁ ἐμός." ἔοικε νῦν ὁ ῥήτωρ ἰδίως ἐπὶ τȣ̃ δορυφόρȣ κεχρῆσθαι τῷ ὀνόματι· ἐν γȣ̃ν τοῖς ἑξῆς φησὶν ὅτι ȣ̓κ ἂν τȣ̀ς μὲν τυραννȣ̃ντας ἠδυνήθησαν οἱ πρόγονοι κολάσαι, τȣ̀ς δὲ δορυφόρȣς ἠδυνάτησαν.

σταφυλοβολεῖον· Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέȣς. ἔςι δὲ τὸ καλούμενον πατητήριον, ὡς Ἀνδροτίων ἢ Φίλιππος ἐν τῷ Γεωργικῷ.

Στεφανηφόρος· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Στεφανηφόρȣ ἡρῷον, ὡς ἔοικεν, ἦν ἐν ταῖς Ἀθήναις. εἴη δ' ἂν ὁ Στεφανηφόρος ἤτοι τῶν Ἡρακλέȣς υἱέων εἷς τῶν γενομένων ἐκ τῶν Θεςίȣ θυγατέρων, ȣ̃ μνημονεύει Ἑλλάνικος ἐν ι' Φορωνίδος· ἢ μήποτε τȣ̃ Ἀττικȣ̃ Στεφανηφόρȣ τὸ ἡρῷον ἦν, ȣ̃ πάλιν ὁ αὐτὸς Ἑλλάνικος ἐν β' Ἀτθίδος μέμνηϑ.

στεφανῶν τȣ̀ς νενικηκότας Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνȣ ἀντὶ τȣ̃ τιμῶν. ϗ Λυκȣ̃ργος ἐν τῷ περὶ τῆς διοικήσεώς φησιν "ἀλλὰ μὴν ϗ Καλλισθένην ρ' μναῖς ἐςεφανώσατε." ϗ παρ' ἄλλοις ἐπὶ ταύτης τῆς ἐννοίας τὸ ςεφανȣ̃ν, ὡς παρά τε Θεοπόμπῳ ἐν ζ' ϗ Μενάνδρῳ ἐν Αὑτὸν πενθȣ̃ντι.

Στειριεύς· Ὑπερίδης κατ' Ἀρχεςρατίδȣ. δῆμος φυλῆς τῆς Πανδιονίδος ἡ Στειρία.

1. § 127. 2. ὀρνιθάδιον C. ὡς ἔοικεν] ἔοικε δὲ BCG. 3. τὰ om CG. σπέρματος C. 5. καὶ διαζῶν πῶς ἀπὸ τῶν ἀλλ. N. 8. ἀπόληξις D, ἀπόλεξις ABCG. ςασιώτην C. 10. ἐφεξῆς CG. 11. κολάσαι Dobraeus p. 588: codices καλέσαι. 16. cf. Boeckh. Inscript. t. 1 p. 168 a. 17. ἀθηναίων C. 19. θυεςίȣ ACG, θυέςȣ B: correxit Maussacus. θυγατρῶν C. ι (η) C. 21. δευτέρω D. 23. τῆς om BCG. 24. καλλισθένης, omissis ρ' μναῖς ἐςεφανώσατε, ABCG. 25. τε om B. 26. ζ (ω) G, β (ω) C, νζ A. αὐτῶ πενθȣ̃ντι AB, τῶ πενθȣ̃ντι CG: correxit Maussacus. 27. ςιριεὺς D, ςιρεὺς ABGN, ςειρεὺς C. κατ'] ἐν τῶ κατ' C. φυλῆς om N. 28. ἡ add D. ςειρία C: ceteri ςιρία.

στρατεία ἐν τοῖς ἐπωνύμοις· Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. τίς ἦν ἡ ἐν τοῖς ἐπωνύμοις ϛρατεία, δεδήλωκεν Ἀριϛοτέλης ἐν Ἀθηναίων πολιτείᾳ λέγων "εἰσὶ γὰρ ἐπώνυμοι ί μὲν οἱ τῶν φυλῶν, β΄ δὲ κ̓ μ΄ οἱ τῶν ἡλικιῶν. οἱ δὲ ἔφηβοι ἐγγραφόμενοι πρότερον μὲν εἰς λελευκωμένα γραμματεῖα ἐνεγράφοντο, κ̓ ἐπεγράφοντο αὐτοῖς ὅ τε ἄρχων ἐφ᾽ ὃ ἐνεγράφησαν κ̓ ἐπώνυμος ὁ τῷ προτέρῳ ἔτει δεδειχτικως· νῦν δὲ εἰς τὴν βȣλὴν ἀναγράφονται." κ̓ μετ᾽ ὀλίγα "χρῶνται δὲ τοῖς ἐπωνύμοις κ̓ πρὸς τὰς ϛρατείας, κ̓ ὅταν ἡλικίαν ἐκπέμπωσι, προγράφȣσιν ἀπὸ τίνος ἄρχοντος ἐπωνύμȣ μέχρι τίνος δεῖ ϛρατεύεσθαι." διείλεκται περὶ τȣ́των κ̓ Φιλόχορος ἐν δ΄ τῆς Ἀτθίδος.

στρατηγοί· Δημοσθένης Φιλιππικοῖς. οἱ καθ᾽ ἕκαϛον ἐνιαυτὸν χειροτονȣ́μενοι ϛρατηγοὶ ί ἦσαν, ὡς μαθεῖν ἔϛιν ἔκ τε τῶν Ὑπερίδȣ κατ᾽ Αὐτοκλέȣς κ̓ ἐκ τῆς Ἀθηναίων πολιτείας Ἀριϛοτέλȣς.

Στράβαξ ὄνομα κύριον.

Στρέψα· Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. πόλις ἐϛὶ τῆς Θρᾴκης, ὡς Ἑλλάνικος ἐν β΄ Περσικῶν ὑποσημαίνει. οἱ δὲ πολῖται τῆς Στρέψης καλȣ̃νται Στρεψαῖοι.

στρεπτός· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. πλακȣ̃ντος εἶδός ἐϛιν οἱ ϛρεπτοί, ὡς κ̓ παρ᾽ ἑτέροις.

Στρομβιχίδης· Λυσίας ἐν τῷ ὑπὲρ Δεξίȣ ἀποϛασίȣ. ὄνομα κύριον.

Στρȣ́θης· Λυσίας ἐν τῷ κατὰ Θρασυβȣ́λȣ. σατράπης τις βασιλέως ἦν.

Στροφάδες νῆσοι· Δείναρχος Τυρρηνικῷ. νῆσοί τινές εἰσι μεταξὺ Ζακύνθȣ κ̓ Ἤλιδος κείμεναι.

1 et 2. ϛρατία B. 1. παρὰ D. § 168 extr. 2. ἡ add D. 3. ἐν] ἐν τῇ AC. 4. ἡλικιωτῶν D. 5. γραφόμενοι pr B. πρῶτον B. ἐγράφοντο C et pr B. 6. ἐνεγρ.] ἐπεγράφησαν codices. 7. δεδειχτικῶς BD, δεδειχτικώς G, δὲ δειχτικῶς AC, δεδιητηκώς Goesiana. de re v. Boeckh. Inscript. 113. 9. προγράφȣσιν Valesius: codices προσγράφουσιν. 11. περὶ] δὲ περὶ C. ἐν] ἐν τῇ AC. 13. ἦσαν] δίκη ἦν BCG. ἐκ τȣ̃ ὑπερίδȣ καὶ ταυτοκλέȣς BCG. 14. καὶ ἀριϛοτέλȣς τῆς ἀθ. πολιτείας C. 16. om CG, κύριον om B. 17. § 27. ἐϛὶν ἐν Θρᾴκῃ C. 18. οἱ πολῖται δὲ ϛρεψαῖοι :- C. 20. ἐν τῷ om A. § 260. 21. ἐϛιν οἱ ϛρεπτοί om C. ὡς om BG. 22. ϛρομβοχίδης CG. ὑπὲρ om A. 26. ϛροφάδες Valesius et Salmasius, ϛρομφίδες D, ϛρομβίδες ABCG. τυραννικῷ ABCG. 27. κύνθȣ ABCG: correxit Maussacus. Ἰλιάδος D.

Στρύμη· Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος. Ἡρακλείδης ἢ Φιλοςέφανος ἐν τῷ περὶ νήσων φησὶν "ἀποικίαι δέ εἰσι Θασίων τῆς Θρᾴκης Γάληψος κ̀ Στρύμη ἡ νῆσος." ἔςι δὲ ἐμπόριον Θασίων. μνημονεύει τῶν Θασίων πρὸς Μαρωνείτας περὶ τῆς Στρύμης ἀμφισβητήσεως Φιλόχορος ἐν ε', Ἀρχίλοχον ἐπαγόμενος μάρτυρα.

στύραξ· Λυσίας ἐν τῷ κατὰ Λυσιθέου. ςύραξ καλεῖται τὸ κάτω τοῦ δόρατος τραχήλιον, ὃ καταπηγνύειν εἰς τὴν γῆν εἰώθασιν, ὡς Θουκυδίδης πέ φησι "ςυρακίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησάμενος εἰς τὸν μοχλόν."

στρωτήρ· Λυκοῦργος κατ' Αἰχυρίου. τὰ μικρὰ δοκίδια τὰ ἐπάνω τῶν δουροδόκων τιθέμενα ςρωτῆρας ἔλεγον, ὥς φησι Δίδυμος. ἔςι τοὔνομα κ̀ ἐν Βαβυλωνίοις Ἀριςοφάνους.

σύλας· Δημοσθένης ἐν τῷ περὶ τοῦ ςεφάνου τῆς τριηραρχίας. κἀν τῷ πρὸς τὴν Λακρίτου παραγραφὴν "ἐξελόμενος ὁπόταν μὴ σῦλαι ὦσιν Ἀθηναίοις." ἐν δὲ τοῖς ἑξῆς ὥσπερ ἐξηγούμενος αὐτό φησιν "σεσυλήμεθα δὲ τὰ ἡμέτερα αὐτῶν ὑπὸ Φασηλιτῶν ὥσπερ δεδομένων συλῶν Φασηλίταις κατ' Ἀθηναίων. ἐπειδὰν γὰρ μὴ θέλωσιν ἀποδοῦναι ἃ ἔλαβον, τί ἄν τις ἔχοι ἄλλο ὄνομα θέσθαι τῷ τοιούτῳ ἢ ὅτι ἀναιροῦνται τὰ ἀλλότρια;" ἀντὶ τοῦ τὰς συλήσεις σύλας ἔλεγον.

συλλογῆς ὄνομα ἀρχῆς. Ἰσαῖος ἐν τῷ μετοίκῳ σαφέστατα δηλοῖ.

σύμβολα τὰς συνθήκας, ἃς ἂν αἱ πόλεις ἀλλήλαις θέμεναι τάττωσι τοῖς πολίταις ὥςε διδόναι κ̀ λαμβάνειν τὰ δίκαια. πολλάκις ἐν τῷ ζ' Φιλιππικῶν Δημοσθένης, κ̀ Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου.

1. § 22. 3. θρασίων B. τῆς] an ἐπὶ τῆς? quae vulgo est ἐκ, codices om. σάληψος ABCG. ἡ νῆσος om C. 4. δὲ] δὲ καὶ CG. θασέων B, τῶν θασίων C. μν. δὲ τῶν C. 5. μαρωνίτας BCG. ςρώμνης BC. 9. ὡς] καὶ ὁ D. πὲ] 2 4. ςυρακίω ἀκοντίω AB, δόρατος ςυρακίω C. 11. ςωτὴρ CG. κατὰ Ἰσχυρίου Fabricius. 12. δοροδόκων cum A Valesius, δουροδόχων D. 14. § 13 extr. 15. § 13. 16. συλέωσιν C, συλεῶσιν BG. ἑξῆς] 26. 17. φασηλιωτῶν B. 18. φασιλήταις B. 19. ἃ om ABG. ἄλλο ἔχει ὄνομα θέσθαι τῷ τοιούτῳ D, θέσθαι ἄλλο ὄνομα τῷ τοιούτῳ ἔχοι C. 20. τὰ ἀλλότρια om ABCG. 21. τοῦ om A. 22. συλλογεῖς N. quod in nullo est συλλογή, tuetur Boeckhius Inscript. t. 1 p. 138 b. ἀρχῆς om C. μετοικισμῷ A. 24. ἂν om N. ἀλλήλαις αἱ πόλεις A. 25. τάττωσι om ABCGN, habet D. τοῖς πολίταις om CN. 26. φιλιππικῷ AD. de Halonn. 9. δημοσθένους καὶ ἰσαίου ABCG.

συμμορία· Δημοσθένης ἐν τῷ κατ᾽ Ἀφόβου α΄. οὐχ ἅπαν τὸ πλῆθος, ὥσπερ παρ᾽ ἡμῖν, διῄρητο εἰς τὰς συμμορίας Ἀθήνησιν, ἀλλὰ μόνοι οἱ πλούσιοι καὶ εἰσφέρειν τῇ πόλει δυνάμενοι. ὁ γοῦν Δημοσθένης ἐν τῷ περὶ συμμοριῶν φησί, περὶ τῶν χιλίων καὶ διακοσίων ἀνδρῶν λέγων τῶν πλουσιωτάτων, "ἐκ τούτων τοίνυν οἶμαι δεῖν ποιῆσαι συμμορίας κ΄, ὥσπερ νῦν εἰσί, σώματα ξ΄ ἑκάστην ἐχούσας." Ὑπερίδης δ᾽ ἐν τῷ πρὸς Πολύευκτόν φησιν "εἰσὶ γὰρ ἐν τῇ συμμορίᾳ ἑκάστῃ ιε΄ ἄνδρες." οὐ δεῖ δὲ θαυμάζειν πῶς ὁ μὲν Δημοσθένης φησὶν ξ΄ ἄνδρας ἔχειν τὴν συμμορίαν, ὁ δὲ Ὑπερίδης ιε΄· ἐν γὰρ τῷ κατὰ Πασικλέους λέγει τὴν αἰτίαν, γράφων ταυτί "ἕως μὲν οἱ πλουσιώτατοι παρακρουόμενοι τὴν πόλιν σύμπεντε καὶ σύνεξ τριηραρχοῦντες μέτρια ἀνήλισκον, ἡσυχίαν ἦγον οὗτοι· ἐπειδὴ δὲ ταῦτα κατιδὼν Δημοσθένης νόμους ἔθηκε τοὺς τ΄ τριηραρχεῖν καὶ βαρεῖαι γεγόνασιν αἱ τριηραρχίαι, νῦν ὁ Φορμίων αὐτὸν ἐκκλέπτει." ὅτι δὲ καὶ οἱ δημοποίητοι ἐνεγράφοντο εἰς τὰς συμμορίας, δεδήλωκεν ὁ Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου πολλάκις. συμμορῖται δέ εἰσιν οἱ τῆς αὐτῆς αὐτοῖς μετέχοντες συμμορίας, ὡς ἐν τῷ αὐτῷ λόγῳ Ὑπερίδης δείκνυσι. διῃρέθησαν δὲ πρῶτον Ἀθηναῖοι κατὰ συμμορίας ἐπὶ Ναυσινίκου ἄρχοντος, ὥς φησι Φιλόχορος ἐν τῇ ε΄ Ἀτθίδος.

συγγραφεῖς· Ἰσοκράτης Ἀρεοπαγιτικῷ. εἰθισμένον ἦν παρ᾽ Ἀθηναίοις, ὁπότε δέοι, πλῆθός τι αἱρεῖσθαι, ὥσπερ εἰς ῥητὴν ἡμέραν εἰσέφερε γνώμας εἰς τὸν δῆμον. τοῦτο δὲ καὶ πρὸ τῆς καταστάσεως τῶν υ΄ ἐγένετο, καθὰ Θουκυδίδης ἐν τῇ η΄ φησίν "ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ περὶ Πείσανδρον ἐλθόντες εὐθὺς τῶν λοιπῶν εἴχοντο, καὶ πρῶτον μὲν τὸν δῆμον συλλέξαντες εἶπον γνώμην, ι΄ ἄνδρας ἑλέσθαι συγγραφέας αὐτοκράτορας, τούτους δὲ συγγράψαντας γνώμην ἐξενεγκεῖν ἐς τὸν δῆμον ἐς ἡμέ-

1. ἐν τῷ om ABCG. § 7. 3. τῇ πόλει om A. 4. post περὶ omisi τῶν cum D. § 17. παρὰ ABCG. 6. τοίνυν om C. κ΄ om BCG. 8. ἐν τῇ] ἐν ἀρχῇ A. 12. σὺν πέντε codices. σὺν ς D, ς ceteri. 13. μέτρια] ματὰ τρία BG, μετὰ τρία C. εἶχον ABCG. ἐπεὶ BCG. 14. κατεῖδον ABCG. ἀνέθηκε BCG. τ΄] γ΄ D. 15. ἐκλέπτει G. 16. ἐγράφοντο C. 18. αὐτοῖς D, αὐτοὶ ABCG. potest abesse. 20. πρῶτον D, πρῶτοι BCG, om A. ναυσικοῦ D, ναυσίκου B. ναυσινίλου G, ναυσιλίου C. 21. ὡς — Φιλόχορος om BCG. 22. Ἰσόστρατος BG. § 68. 23. ὥσπερ om D. 24. εἰσέφερον D. δὲ om B. 25. υ΄ Valesius, νῦν codices. ἐγίνετο AB. καθὰ καὶ Θ. B. c. 67. 26. περὶ τὸν π. AB. 28. εἶπον τὴν γν. C. τούτοις A. 29. εἰς BCG. εἰς BCGN, om A.

ραν ῥητήν, καθότι ἄριςα ἡ πόλις οἰκήσει." ἦσαν δὲ οἱ μὲν πάντες συγγραφεῖς λ' οἱ τότε αἱρεθέντες, καθά φησιν Ἀνδροτίων τε ϗ Φιλόχορος, ἑκάτερος ἐν τῇ Ἀτθίδι· ὁ δὲ Θουκυδίδης τῶν ι' ἐμνημόνευσε μόνων τῶν προβούλων.

σύνδικοι. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου ϗ Δημοφάνους φησὶν "οἳ μετὰ τὰ ἐκ Πειραιῶς, ὡς ἐγὼ ἀκούω, σύνδικοι ἦσαν, πρὸς οὓς τὰ δημευόμενα ἀπεφέρετο." ϗ Λυκοῦργος ἐν τῷ κατὰ Δεξίππου, εἰ γνήσιος, "ϗ ποῦ ἑτέρωθι ἀνδρεῖός ἐςιν οὗτος; πρὸς τοῖς θεσμοθέταις γραφὰς γραφόμενος, πρὸς τοῖς συνδίκοις ἀπογραφὰς ἀπογράφων." μήποτ' οὖν ἀρχή τις ἦν καθεςαμένη μετὰ τὴν ἐκ Πειραιῶς κάθοδον.

συνήγοροι· Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ ϗ ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. ἐοίκασι παρ' Ἀθηναίοις τινὲς χειροτονεῖσθαι συνήγοροι ἐπὶ τῷ συναγορεύειν.

σύγκλητος ἐκκλησία. τῶν ἐκκλησιῶν αἱ μὲν ἐξ ἔθους ϗ κατὰ μῆνα ἐγίνοντο· εἰ δέ τι ἐξαίφνης κατεπείξειεν ὥςε γενέσθαι ἐκκλησίαν, αὕτη ἐκαλεῖτο σύγκλητος ἐκκλησία· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου.

σύνταξις ἀντὶ τοῦ συντεταγμένη οἴκησις· Δημοσθένης Φιλιππικοῖς "ϗ μίαν σύνταξιν εἶναι τὴν αὐτὴν τοῦ τε λαμβάνειν ϗ τοῦ ποιεῖν τὰ δέοντα." ἔλεγον δὲ ϗ τοὺς φόρους συντάξεις, ἐπειδὴ χαλεπῶς ἔφερον οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα, Καλλιςράτου οὕτω καλέσαντος, ὥς φησι Θεόπομπος ἐν ι' Φιλιππικῶν. Ὑπερίδης Δηλιακῷ "σύνταξιν ἐν τῷ παρόντι οὐδενὶ διδόντες ἡμεῖς ποτὲ ἠξιώσαμεν λαβεῖν."

συντελεῖς οἱ συνδαπανῶντες ϗ συνεισφέροντες· τὸ δὲ πρᾶγμα **συντέλεια** καλεῖται, ὡς ἔςιν εὑρεῖν ἐν τῷ Ἀντιφῶντος περὶ τοῦ Σαμοθρᾳκῶν φόρου. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

4. τῶν ι'] ἐν τῷ ι B. ἐμνημόνευσε μόνον B, ἐμνημόνον A. 5. δημοφάνης AGN, δημοσθένης B. φασὶν ABG. 6. τὰ om BCG. ὡς codicibus deest. 7. ἐπεφέρετο CG. 8. γν.] γν. ὁ λόγος A. 9. γραφὰς A, om C. 10. καθεςαμένη DN, καθιςαμένη ABCG. 12. ἐν τῷ C, om BG. 13. ἀπολογίᾳ om BCG. τοῦ] τῶν A. παρ' Ἀθ.] παναθηναίοις C. 14. τὸ B. 15. οἱ C. μετὰ A. 16. ἐγένοντο CG. ἐξαίρετον CG. 17. § 73. 19. διοίκησις Valesius. ἐν φ. D. Olynth. 1 20. 20. τε ποιεῖν καὶ λαμβάνειν τὰ C. 21. ἔλεγε δὲ καὶ ἑκάστους B, ἔλεγε δὲ ἑκάστους ceteri. 23. ι (η superscr.) C. 25. ποτὲ] δέ ποτε A. malim τότε. 27. καλοῦσιν C. 28. ἐν τῷ om C. § 104.

Σφηττός· Ἰσαῖος ἐν τῷ πρὸς δημότας περὶ χωρίου. Σφηττὸς δῆμος τῆς Ἀκαμαντίδος.

Σφοδρίας· Ἰσαῖος ἐν τῷ κατὰ Μεγαρέων, εἰ γνήσιος. στρατηγὸς Λακεδαιμονίων ὁ Σφοδρίας. φησὶ δ' αὐτὸν ὁ Καλλισθένης ἐν β' Ἑλληνικῶν εὐήθη τε εἶναι λίαν καὶ κοῦφον πρὸς τὰς ἐλπίδας.

Ταυρέας ὄνομα κύριον.

ταμίαι· Ἰσαῖος ἔν τινι τῶν κληρικῶν. ἀρχή τις παρ' Ἀθηναίοις ἦν οἱ ταμίαι, ι' τὸν ἀριθμόν. παραλαμβάνουσι δ' οὗτοι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. εἰσὶ δέ τινες καὶ τῶν τριήρων ταμίαι, ὡς ὁ αὐτὸς φιλόσοφός φησιν. ὅτι δὲ καὶ τοῖς τριηράρχοις παρείποντο ταμίαι, δεδήλωκεν Εὔπολις ἐν Μαρικᾷ.

Ταμῦναι· Αἰσχίνης κατὰ Κτησιφῶντος. πόλις ἐστὶν ἐν Εὐβοίᾳ ἐν τῇ χώρᾳ τῇ Ἐρετριέων αἱ Ταμῦναι, ἔνθα καὶ ἱερὸν Ἀπόλλωνος, ὡς οἵ τε τὰ Εὐβοϊκὰ γράψαντες μαρτυροῦσι καὶ Σίμων ἐν τῷ εἰς Λυσίμαχον τὸν Ἐρετριέα θρήνῳ.

τὰ τῶν φώρων κρείττω· Ὑπερίδης ἐν τῷ κατ' Ἀθηνογένους β'. παροιμία ἐστὶ λεγομένη κατὰ τῶν πλείω φερομένων ὧν ἠδίκησαν.

τεταρτημόριον· Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τεταρτημόριόν ἐστι τὸ τέταρτον μέρος τοῦ ὀβολοῦ, τουτέστι χαλκοῖ β'.

τετρακόσιοι· Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. οἱ υ' πρὸ ζ ἐτῶν κατέστησαν τῶν λ' τυράννων παρ' Ἀθηναίοις, οἵτινες δ' μῆνας ἦρξαν τῆς πόλεως, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

τετραρχία· Δημοσθένης Φιλιππικοῖς. τεττάρων μερῶν ὄντων

1. σφιττὸς ABG. περὶ om BG. χωρίον AG. σφιττὸς AG, σφητὸς B. ὁ σφηττὸς, idque post Ἀκαμαντίδος, D. 3. γν.] γν. ὁ λόγος A. 5. καὶ om B. 7. ταυρίας A. 8. ταμίας BC. 11. ἐν τῇ ἀθ. BC. 15 et 16. ταμέναι A, ταμύναι C. 15. κατὰ] ἐν τῷ κατὰ BC. § 86. 17. εὐβοεικὰ AC. Σιμωνίδης Valesius. 19. φώρων O, φόρων ABCD. κρέττω AB. εὐθηνογένους C. 20. ἐστὶ om BC. κατὰ τῶν om ABC. πλεῖον δὲ AB, πλείω δὲ C. φερομένοις A, φερόμενοι B. ὧν] ἢ D. 21. ἠδίκησαν ὑπερίδης C. 22. τῷ A. 23. τεταρτημόριον om C. 26. πρὸ ἑπτὰ ἐτῶν D, πρὸς ἑπτὰ ABCGO. 27. ἐν] ἐν τῇ C. 29. Δημ. Φιλ. om C. Phil. 3 26.

τῆς Θετταλίας ἕκαςον μέρος τετρὰς ἐκαλεῖτο, καθά φησιν Ἑλλάνικος ἐν τοῖς Θετταλικοῖς· ὄνομα δέ φησιν εἶναι ταῖς τετράσι Θετταλιῶτιν Φθιῶτιν Πελασγιῶτιν Ἑςιαιῶτιν. ϗ Ἀριςοτέλης δὲ ἐν τῇ κοινῇ Θετταλῶν πολιτείᾳ ἐπὶ Ἀλεύα τοῦ Πύρρȣ διῃρῆσθαί φησιν εἰς δ' μοίρας τὴν Θετταλίαν. εἴη ἂν ὃν λέγων ὁ Δημοσθένης τὴν τετραρχίαν. ὅτι δὲ Φίλιππος καθ' ἑκάςην τȣ́των τῶν μοιρῶν ἄρχοντα κατέςησε, δεδηλώκασιν ἄλλοι τε ϗ Θεόπομπος ἐν τῇ μδ'.

τετρυπημένη· Αἰσχίνης κατὰ Τιμάρχȣ. Ἀριςοτέλης ἐν Ἀθηναίων πολιτείᾳ γράφει ταυτί "ψῆφοι δέ εἰσι χαλκαῖ, αὐλίσκον ἔχȣσαι ἐν τῷ μέσῳ, αἱ μὲν ἡμίσειαι τετρυπημέναι αἱ δὲ ἡμίσειαι πλήρεις. οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφȣς, ἐπειδὰν εἰρημένοι ὦσιν οἱ λόγοι, παραδιδόασιν ἑκάςῳ τῶν δικαςῶν β' ψήφȣς, τετρυπημένην ϗ πλήρη, φανερὰς ὁρᾶν τοῖς ἀντιδίκοις ἵνα μήτε πλήρεις μήτε πάντη τετρυπημένας λαμβάνωσιν."

τετύφωμαι ἀντὶ τȣ̃ ἐμβεβρόντημαι, ἔξω τῶν φρενῶν γέγονα, ἤτοι ἀπὸ τῆς βροντῆς, ἢ ἀπὸ τῶν ἐπὶ τὸν Τυφῶνα ἀναφερομένων σκηπτῶν, ἢ ἀπὸ τῶν Τυφωνικῶν καλȣμένων πνευμάτων, ἃ δὴ ϗ αὐτὰ ἐξίςησιν ἀθρόως καταρραγέντα· Ἀλκαῖος "πάμπαν δὲ τυφὼς ἔκ σ' ἕλετο φρένας." Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

Τῆνος μία τῶν Κυκλάδων νήσων.

Τηλεφάνης αὐλητής· Δημοσθένης κατὰ Μειδίȣ. ὄνομα κύριον.

τῆτες ἀντὶ τȣ̃ τȣ́τῳ τῷ ἔτει Λυσίας ἐν τῇ πρὸς Πυθόδημον ἀπολογίᾳ, εἰ γνήσιος, Ἀριςοφάνης Γήρᾳ, ϗ οἱ ἄλλοι.

Τιλφώσσαιον· Δημοσθένης κατ' Αἰσχίνȣ. ὄρος ἐςὶ μικρὸν ἀπέχον τῆς λίμνης τῆς Κωπαΐδος, ὡς Θεόπομπος ἐν ταῖς Φιλιππικαῖς.

2. θετταλοῖς BC. τȣ̆νομα BC. 3. αἰςιεῶτιν AN, ἀςιεῶτιν D, αἰτιεῶτιν BC. 4. ἀλιέα AD, ἀλιέως BC: correxit Valesius. τὸν πύρρον A. 5. διῃρῆσθαι δέ φ. B. 6. ὁ om BC. 7. ἄλλοι τε δεδηλώκασι C. 9. κατὰ] κατὰ τȣ̃ A. § 79. 12. post πλήρεις ABCD μήτε ταύτη (ταῦτα A) ὑπομείνας. ὑπὸ BC. 14. φανερὰν BC. ἀδίκοις A. 15. μήτε ταύτη B, μὴ ταύτη A, μήτε ταύτας C. τετρυπημένας om ABC, A in lacuna. 16. ἐκβεβρόντημαι C. 17. τυφῶ C. καταφερομένων codices. 19. ἃ δὴ καὶ] ἤδη καὶ BC, ἤδη θ' A. καὶ ἀλκαῖος B, καὶ γὰρ ἀλκαῖος φησι D. 20. ἐκ δὲ ἐλέγετο D, ἐκδε λεγετο A, ἐκ δὲ λέγετο BC, ἐκ δ' εἵλετο Salmasius, ἐξέλετο Schneiderus. φρένας :– C. § 11. 22. νήσων om pr B. 23. τηλεφανὴς C. § 17. ὄνομα om B. 24. τȣ̃ om B. 25. γν.] γν. ὁ λόγος A. καὶ ἀριςοφάνης ἐν γήρα B. καὶ οἱ ἄλλοι om C, οἱ om B. 26. § 141.

τίμημα ἀντὶ μὲν τȣ̃ ἐνέχυρον ϗ οἷον ἀποτίμημα Λυσίας ἐν τῷ ὑπὲρ Καλλίȣ· "ȣ̃τοι δὲ φάσκοντες πλείονα μισθώσασθαι ϗ τίμημα καταςήσασθαι." τȣ̃το δ' ἐν τοῖς ἑξῆς ἀποτίμημα καλεῖ. τίθεται δὲ ϗ ἀντὶ τȣ̃ οἷον κεφάλαιον, ὡς ἐν τῷ περὶ τῶν συμμοριῶν Δημοσθένης. λέγεται δὲ ϗ τὸ ἐκ τῆς ȣ̓σίας εἰσφερόμενον παρ' ἑκάςȣ τίμημα παρὰ τῷ αὐτῷ ἐν τῷ κατ' Ἀφόβȣ. ἐν δὲ τῷ κατὰ Μειδίȣ ἐπὶ τῆς τιμωρίας εἴρηται.

Τιτακίδαι· Ἰσαῖος ἐν τῷ πρὸς Νικοκλέα. δῆμός ἐςι τῆς Αἰαντίδος φυλῆς οἱ Τιτακίδαι, ὡς Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τῷ περὶ τῶν δήμων δηλοῖ. μήποτε δὲ ἀπὸ Τιτάκȣ ὠνομάσθησαν, ȣ̃ μνημονεύει Ἡρόδοτος.

τοπεῖον· Ἰσαῖος κατὰ Διοκλέȣς. τοπεῖα λέγουσι τὰ χοινία· Στράττις Μακεδόσι "τὸν πέπλον δὲ τȣ̃τον ἕλκȣσι δεσμεῦντες τοπείοις ἄνδρες ἀναρίθμητοι εἰς ἄκρον ὥσπερ ἱςίȣ τὸν ἱςόν." Ἄρχιππος Ὄνῳ "τροχιλίαισι ταῦτα ϗ τοπείοις ἱςᾶσιν ἐκ ἄνευ πόνȣ."

Τορώνη· Ἰσοκράτης Παναθηναϊκῷ. πόλις ἐν Θράκῃ, ὡς Ἔφορος ἐν δ' ἱςορεῖ.

τȣ̀ς ἑτέρȣς τραγῳδȣ̀ς ἀγωνιεῖται· Λυκȣ̃ργος ἐν τῷ πρὸς Δημάδην. Δίδυμός φησιν ὅτι παροιμία ἐςὶν ἐπὶ τῶν ἁρμοζομένων ϗ σεμνοποιȣ̃ντων ἑαυτȣ̀ς πρὸς τὰ ἐναντία.

1. μὲν om B. ἐνεχύρȣ BCG. ἐν τῷ ὑπὲρ] ὑπὲρ τȣ̃ C. 2. πλείονος μισθώσεσθαι καὶ τ. καταςήσεσθαι Dobraeus p. 588. 3. δηλοῖ C. 4. γίνεται A. δὲ καὶ om BC. τȣ̃ ἐπικεφάλαιον Valesius. ὡς ἐν] ὡρεῖν B. ὡς — Δημοσθένης om C. § 19. 5. malim Δημοσθένȣς. 6. τῷ om C. 1 7. 7. § 25. μωρίας C. 9. οἱ Τιτακίδαι om C. θυατηρινὸς AC, θυατηρηνὸς B. 10. ἀπὸ τȣ̃ τιτάκȣ N. 11. 9 73. 12. κατὰ] ἐν τῷ κατὰ C. λέγεται C. 13. ςράτις BCD. δεσμεύοντες D cum Photio et Etymologo: ceteri δονεύοντες. correxit Meinekius. 14. ἄνδρες :- D. ἄλλον B, ἄκραν Hemsterhusius Pollac. 10 130. τὸν om C. ἱςόν Dobraeus p. 589: εἰς τὸν codices. 15. ἄρχιππον ABC. τροχιλίαισι Dobraeus: τραχηλίαις A, τραχηρίαις B, τροχηλίαις ceteri. 16. γόνου ABCG. ante 17. D τί ἐστιν ἐν τοῖς δημοσθένȣς φιλιππικοῖς τὸ θρυλλȣ́μενόν ποτε ἀπόρρητον ἐκεῖνο, θεόπομπος ἐν λα δεδήλωκε. φησὶ γὰρ "καὶ πέμπει πρὸς τὸν φίλιππον πρεσβευτὰς ἀντιφῶντα καὶ χαρίδημον πράξαντας καὶ περὶ φιλίας, οἳ παραγενόμενοι συμπείθειν αὐτὸν ἐπεχείρȣν ἐν ἀπορρήτῳ συμπράττειν ἀθηναίοις ὅπως ἂν λάβωσιν ἀμφίπολιν, ὑπισχνȣ́μενοι πύδναν. οἱ δὲ πρέσβεις οἱ τῶν ἀθηναίων εἰς μὲν τὸν δῆμον οὐδὲν ἀπήγγελλον, βȣλόμενοι λανθάνειν τȣ̀ς πυδναίȣς, ἐκδιδόναι μέλλοντες αὐτȣ́ς, ἐν ἀπορρήτῳ δὲ μετὰ τῆς βȣλῆς ἔπραττον." 17. τορώνην C. § 63: cf. Coraes 2 p. 338. ὡς] ὡς ὁ A. 19. ἑταίρȣς B. Λ. — 20. Δημ. om C. 19. ἐν τῷ om G. 21. τἀναντία C.

τὸς χωρὶς οἰκοῦντας. Δημοσθένης Φιλιππικοῖς "καὶ μετὰ ταῦτα ἐμβαίνειν τοὺς μετοίκους ἔδοξε καὶ τοὺς χωρὶς οἰκοῦντας τῶν δεσποτῶν." οὐ μὴν ἀλλὰ καὶ χωρὶς τοῦ προσκεῖσθαι φανερὸν ἂν εἴη τὸ δηλούμενον, ὅτι οἱ ἀπελεύθεροι καθ' αὑτοὺς ᾤκουν, χωρὶς τῶν ἀπελευθερωσάντων· ἐν δὲ τῷ τέως δουλεύοντες ἔτι συνῴκουν.

τραγικὸς πίθηκος· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἔοικε λέγειν τοῦτο ὁ ῥήτωρ ὡς καὶ περὶ τὴν ὑπόκρισιν ἀτυχοῦντος τοῦ Αἰσχίνου, καὶ μιμουμένου μᾶλλον τραγῳδοὺς ἢ τραγῳδεῖν δυναμένου.

τραπεζοφόρος. Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας ὅτι ἱερωσύνης ὄνομά ἐστιν ἡ τραπεζοφόρος. ὅτι αὐτή τε καὶ ἡ κοσμὼ συνδιέπουσι πάντα τῇ τῆς Ἀθηνᾶς ἱερείᾳ, αὐτός τε ὁ ῥήτωρ ἐν τῷ αὐτῷ λόγῳ δεδήλωκε καὶ Ἴστρος ἐν ιγʹ τῶν Ἀττικῶν συναγωγῶν.

τριακάς. τοῖς τετελευτηκόσιν ἤγετο ἡ τριακοστὴ ἡμέρα διὰ θανάτου, καὶ ἐλέγετο τριακάς, ὡς Ὑπερίδης ἐν τῷ περὶ τοῦ Ἱππέως κλήρου δηλοῖ, ἑνικῶς τε καὶ πληθυντικῶς τριακάδας τὴν ἡμέραν καλῶν.

τριβωνευόμενοι· Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. ἤτοι ἀντὶ τοῦ τριβὰς ἐμποιοῦντες, ἢ ἀντὶ τοῦ τεχνάζοντες ἀπὸ τοῦ τρίβωνες εἶναι πραγμάτων.

τρίγωνον δικαστήριον· Λυκοῦργος κατ' Ἀριστογείτονος. ὄνομά ἐστι δικαστηρίου, ἴσως καὶ τῷ σχήματι τριγώνου ὄντος. μνημονεύουσιν αὐτοῦ ἄλλοι τε καὶ Μένανδρος ἐν τῇ

τριηράρχημα τὸ εἰς τὴν τριηραρχίαν ἀνάλωμα· Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος. ἐπιτριηράρχημα δὲ τὸ ἀναλισκόμενον μετὰ τὸν τῆς τριηραρχίας χρόνον.

1. Phil. 1 36. 2. ἐμβάλλειν B. 3. προκεῖσθαι C. 7. § 242. 8. περὶ D, παρὰ ABC. 9. τοῦ Αἰσχίνου] αἰσχίνης B, αἰσχύνης C. μιμουμένους C. 10. δυναμένους BC. 11. ἱεροσύνης C. 12. ὅτι ἡ αὐτή BCD. an ὅτι δ' αὕτη? κόσμω ABC. 13. συνδιέπουσα AG, διέπουσα BC. τῇ D: ceteri τὰ et mox ἱερεῖα. αὐτός] ὡς αὐτός A. 16. τριακοστὴ Kühnius Polluc. 1 66, Iungermannus 3 102, Schaeferus Corinth. p. 198, Bastius p. 852: τριακὰς ABCG. διὰ τοῦ θανάτου C, ἀπὸ τοῦ θανάτου Schoemannus Isaei p. 219, διὰ τὴν Ἑκάτην Hemsterhusius. 20. λινδίου C. 21. ἀπὸ N: ceteri ἀντὶ. 22. πραγμάτων εἶναι BC. 23 — 25. om C. 23. Λυκοῦργος om B. 24. ὄντα A. 27. § 44. 28. τῆς om B.

Τρικάρανον· Δημοσθένης ἐν τῷ ὑπὲρ Μεγαλοπολιτῶν. φρȣ́ριόν ἐςι τῆς Ἀργείας ȣ̔́τω καλȣ́μενον.

τρικέφαλος· Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην "μικρὸν δ' ἄνω τȣ̃ τρικεφάλȣ παρὰ τὴν Ἑςίαν ὁδόν." τὸ πλῆρές ἐςι τȣ̃ τρικεφάλȣ Ἑρμȣ̃. τȣ̃τον δέ φησι Φιλόχορος ἐν γ' Εὐκλείδην ἀναθεῖναι Ἀγκύλησιν.

τριπτῆρα· Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέȣς. Νίκανδρος ἐν ς' ϗ ι' τῆς Ἀττικῆς διαλέκτȣ φησὶν ὅτι τριπτήρ ἐςι πιθάκνη ἐκπέταλος, οἷα τὰ ἐπιλήνια. ἐπὶ τȣ́τȣ δ' ἂν τάττοιτο νῦν παρὰ τῷ ῥήτορι· πολλὰ γὰρ ϗ ἄλλα σημαίνει τȣ̆́νομα.

τριτημόριον· Δείναρχος κατὰ Καλλισθένȣς. ὅτι τριτημόριόν ἐςιν ς' χαλκοῖ, Φιλήμων ἐν ἀρχῇ τȣ̃ Σαρδίȣ διδάσκει.

τρίτον ἡμίδραχμον· Δείναρχος κατὰ Λυκȣ́ργȣ. τὰς β' ἥμισυ δραχμὰς ȣ̔́τως εἰώθασιν ὀνομάζειν οἱ παλαιοί.

τριτομηνίς· Λυκȣ̃ργος ἐν τῷ περὶ τῆς ἱερείας. τὴν τρίτην τȣ̃ μηνὸς τριτομηνίδα ἐκάλȣν. δοκεῖ δὲ γενέθλιος τῆς Ἀθηνᾶς. Ἴςρος δὲ ϗ Τριτογένειαν αὐτήν φησι διὰ τȣ̃το λέγεσθαι, τὴν αὐτὴν Σελήνην νομιζομένην.

τριττύς· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. τριττύς ἐςι τὸ τρίτον μέρος τῆς φυλῆς· αὕτη γὰρ διῄρηται εἰς γ' μέρη, τριττῦς ϗ ἔθνη ϗ φατρίας, ὥς φησιν Ἀριςοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Τυρμεῖδαι· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλȣ. δῆμος τῆς Οἰνηΐδος οἱ Τυρμεῖδαι, ὥς φησι Διόδωρος.

Τυρταῖος· Λυκȣ̃ργος ἐν τῷ κατὰ Λεωκράτȣς. ὁ τῶν ἐλεγειῶν ποιητής.

Ὑακινθίδες· Λυκȣ̃ργος ἐν τῇ κατὰ Λυκόφρονος εἰσαγγελίᾳ. εἰσὶ δὲ θυγατέρες Ὑακίνθȣ τȣ̃ Λακεδαιμονίȣ.

1. τρικάρηνον B. ὑπὲρ om ABC: possis ἐν τῷ Μεγαλοπολιτικῷ. § 16. 2. ἐςι] τι A. ἀργίας C. 3. περὶ εὐκλείδȣ G. 8. τριπτή BC. ἐκπέταλος A. 9. περὶ τȣ́των A. 11. ὁ δείναρχος B. 12. Σαρδίȣ] δίȣ ABC: cf. Meinek. Menandri rel. p. 381. 13. Δείν. κ. Λυκ. post 14. παλαιοί C. 14. ὀνομάζειν εἰώθασιν B. post 14. D τριπάτορες· δήμων ἐν τῇ ἀτθίδι φησὶν ἀνέμους εἶναι τȣ̀ς τριπάτορας πάντων γεγονέναι πρώτȣς. τὴν γὰρ γῆν καὶ τὸν ἥλιόν φησιν, ὃν καὶ ἀπόλλωνα καλεῖν, γονεῖς αὐτῶν ἠπίςαντο οἱ τότε ἄνθρωποι. 16. τριτομηνίαν A. καλȣ̃σι BC. γενέσθαι N, γενέσθαι ὁ ABC. 19. τριτὺς BC. § 30. 20. τριτὺς D, τριττὺν A, τριτὺν BC. 21. καὶ ante ἔθνη om B. φατρίαν A. 23. τυρμίδαι D. 24. οἱ Τυρμεῖδαι om C. 25 — 26. om BC. 25. κατὰ om A. § 107.

Ὑβάδαι· Λυσίας ἐν τῷ περὶ τῆς Ὀνομακλέους θυγατρός. ἔστι δὲ δῆμος τῆς Λεοντίδος.

Ὑγεία Ἀθηνᾶ· Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ἔστι δὲ ἐπώνυμον τῆς Ἀθηνᾶς· καὶ γοῦν Ὑγεία καλεῖται καὶ Νίκη καὶ Ἱππεία καὶ Ἐργάνη.

ὑπάγουσιν ἀντὶ τοῦ προάγουσι Δημοσθένης Φιλιππικοῖς.

Ὑπέρβολος· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ἦν δὲ δημαγωγός, ὃν Θουκυδίδης ἐν τῇ η′ ἐξωστρακίσθη φησίν.

ὑπερήμεροι. οἱ δίκην ὀφείλοντες ὁποιανοῦν καὶ τὰ ἐπιτίμια τοῖς ἑλοῦσι μὴ ἀποδιδόντες ἐν ταῖς τακταῖς προθεσμίαις ὑπερήμεροι ἐκαλοῦντο, καὶ τὸ πρᾶγμα **ὑπερημερία**, ὡς ὑποσημαίνει ἐν τῷ κατ' Ἀριστοκλέους Ἰσαῖος, εἰ γνήσιος ὁ λόγος ἐστίν.

ὑπὸ γῆν οἰκοῦντες· λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῷ Περίπλῳ λεγομένους Τρωγλοδύτας καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ′ Καταλόγου Κατουδαίους ὀνομαζομένους. Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας.

ὑποκυδεῖς γάρ εἰσιν οἱ τόποι· Δείναρχος ἐν τῷ κατὰ Στεφάνου. ὑποκυδής ἐστιν ὁ δίυγρος, ὡς ἐκ τῆς γ′ Κτησίου φανερόν ἐστιν. Εὐφορίων "οἷόν τ' εἰαμενῆς ὑποκυδέος." ἐν ἐνίοις μέντοι τῶν ἀντιγράφων παρὰ τῷ ῥήτορι γέγραπται ὑπόκοιλοι.

ὑπόλογον. Λυσίας περὶ ἀμβλώσεως, εἰ γνήσιος, "οὐχ ὑπόλογον ὄντα" ἀντὶ τοῦ οὐκ ἐν λόγῳ. Δείναρχος ἐν τῷ κατὰ Πυθέου "οὐδεὶς ὑπόλογος βουλῇ γέγονεν" ἀντὶ τοῦ οὐδεμία συγγνώμη, οὐδεμία παραίτησις.

ὑπονομεύοντες ἀντὶ τοῦ ὑπονόμους ὀρύττοντες Δείναρχος ἐν τῷ κατὰ Καλλίππου.

ὑποστήσας ἀντὶ τοῦ ὑποβαλόμενος Ὑπερίδης ἐν τῷ κατ' Ἀντίου.

ὑποφόνια τὰ ἐπὶ φόνῳ διδόμενα χρήματα τοῖς οἰκείοις τοῦ

1. τῇ AB. τοῦ AC. 4. τῆς om A. 7. τῇ A. 8. c. 73. 9. ὄφλοντες Piersonus Moer. p. 427. 11. ὑποσημαίνεται codices. 12. τῇ A. ἀριστοκλέα A, στρατοκλέους BC. Ἰσαῖος om A. ἐστίν om C. 13. τοὺς om B. 14. τοὺς — 15. ὀνομαζομένους om C. 14. ὑπὸ τοῦ ἡσιόδου B. καταλόγω AB. 15. κατὰ τοῦ δέους AB: rectius Suidas. καὶ ἀντιφῶν B. immo haec Ἀντ. — ὁμονοίας ante 13. λέγοι ponenda. 16. γάρ] καὶ γάρ A, om C. τρόποι B. 17. ὑποκυδεῖς εἰσὶν BC. οἱ δίυγροι C, ὁ δίυγρόν A. 18. Εὐφ.] Meinek. fr. 101. εἰαμενεῖς CG. ὑποκυδέος post Salmasium Ruhnk. auctar. Hesych. ad p. 1472: vulgo ὑποκυδέες. 19. ὑπόκηλοι C, ὑπόκυλοι G, ὑπόκυκλοι B. 20. γν.] γν. ὁ λόγος ἐστίν A. ὑπὸ λόγον ABC. 22. οὐδεὶς ἂν ὑπ. BC. βουλὴ ABC. 24. ἀντὶ — ὀρύττοντες om A. 25. καλλίστου D. 26. ὑποβαλλόμενος codices.

φονευθέντος, ἵνα μὴ ἐπεξίωσιν· Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους καὶ ἐν τῷ κατὰ Φορμισίου, Θεόφραστος Νόμων ιϛʹ.

ὑπωμοσία. τὸ ὑπερτίθεσθαι δίκην προφάσει χρώμενον ἀποδημίᾳ ἢ νόσῳ ἤ τινι τῶν παραπλησίων μεθ' ὅρκου οὕτως ἐλέγετο, καὶ τὸ ποιεῖν τοῦτο ὑπόμνυσθαι, ὡς ἔκ τε ἄλλων δῆλον καὶ ἐκ τοῦ Δημοσθένους κατ' Ὀλυμπιοδώρου.

Ὑσιαί· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. Ὑσιαὶ τῆς Βοιωτίας πόλις, ἧς μνημονεύει καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ.

φαλάγγια. Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας βʹ ὅτι τῶν δακετῶν τι ζῷόν ἐστι τὸ φαλάγγιον. δῆλον δὲ ποιεῖ καὶ Ξενοφῶν ἐν αʹ τῶν Ἀπομνημονευμάτων.

Φάληρον· Λυσίας ἐν τῷ κατὰ Λυσιθέου. Φάληρον δῆμος τῆς Ἀντιοχίδος, ἀφ' οὗ ὁ δημότης Φαληρεύς.

Φανίας ὄνομα κύριον, τῶν ἐστρατηγηκότων τις.

Φανοστράτη· Δημοσθένης κατ' Ἀνδροτίωνος. Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν Ἀθήνησιν ἑταιρῶν ταύτην φησὶν ὀνομάζεσθαι Φθειροπύλην, ἐπειδὴ ἐπὶ τῆς θύρας ἑστῶσα ἐφθειρίζετο.

Φαρμακός· Λυσίας ἐν τῷ κατ' Ἀνδοκίδου ἀσεβείας, εἰ γνήσιος. δύο ἄνδρας Ἀθήνησιν ἐξῆγον καθάρσια ἐσομένους τῆς πόλεως ἐν τοῖς Θαργηλίοις, ἕνα μὲν ὑπὲρ τῶν ἀνδρῶν, ἕνα δὲ ὑπὲρ τῶν γυναικῶν. ὅτι δὲ ὄνομα κύριόν ἐστιν ὁ Φαρμακός, ἱερὰς δὲ φιάλας τοῦ Ἀπόλλωνος κλέψας ἁλοὺς ὑπὸ τῶν περὶ τὸν Ἀχιλλέα κατελεύσθη, καὶ τὰ τοῖς Θαργηλίοις ἀγόμενα τούτων ἀπομιμήματά ἐστιν, Ἴστρος ἐν αʹ τῶν Ἀπόλλωνος ἐπιφανειῶν εἴρηκεν. Δημοσθένους δ' ἐν τῷ κατ' Ἀριστογείτονος λέγοντος "οὗτος οὖν αὐτὸν ἐξαιρήσεται ὁ φαρμακός" Δίδυμος προπερισπᾶν ἀξιοῖ τοὔνομα· ἀλλ' ἡμεῖς οὐχ εὕρομεν οὕτω που τὴν χρῆσιν.

1. ὑπεξίωσιν C. 3. χρωμένους C, χρωμένων AB. 4. νόμῳ B. 5. ὑπόμνησιν A. 6. § 25. 7. Ὑσιαί — Ξενοφίλου om C. τις ABC. βοιωτία AB. 8. ὧν BC. 10. ζῷόν] θηρίων C. 11. ἐν] ἐν τῷ A. ἀπομνημνημάτων B. 1 3 12. 12. Φάληρον alterum om C. 13. Αἰαντίδος Boeckhius Inscr. t. 1 p. 309 b. 14. om C. κύριον om B. 15. φανοστράτης B, φανοστράπη D. ἐν τῷ κατ' B. § 56. 16. ἑταίρων B. 17. θύρας] πύλης D. ἐφθείρετο D. 18. εὐσεβείας C. γν.] γν. ὁ λόγος A. 19. ἐξῆν BC. τῆς πόλεως om C. 20 et 21. ὑπὲρ] ἀπὸ BC. 22. ἱερεὺς ABCG. 24. ἀποτιμήματα A. ἐπιφανιῶν CG, ἐπιφανίων A. 25. 1 80. 26. αὐτὸν] αὐτὸς BC. post Δίδυμος cum D omisi δὲ. 27. πού] περὶ A.

φαρμακῶντα· Δημοσθένης ἐν τῷ κατὰ Στεφάνϐ. ἔςι δὲ φαρμακῶν ὁ ὑπὸ φαρμάκων βεβλαμμένος, ὡς ᾗ Θεόφραςος ἐν ιε' Νόμων ὑποσημαίνει.

φάσκωλον. πήρα τις ϐτως ἐκαλεῖτο παρ' αὐτοῖς· Λυσίας ἐν τῷ πρὸς Δίωνα, Ἀριςοφάνης Θεσμοφοριαζϐσαις.

Φάϋλλος· Δημοσθένης ἐν τῷ κατ' Ἀριςοκράτϐς. Ὀνόμαρχος ἦν Φωκέων τύραννος· τούτῳ δὲ ζῶντι συνῆρχεν ὁ ἀδελφὸς Φάϋλλος.

φελλέα· Ἰσαῖος ἐν τῷ περὶ τϐ Κίρωνος κλήρϐ. τὰ πετρώδη ᾗ αἰγίβοτα χωρία φελλέας ἐκάλϐν· Κρατῖνος Ὥραις, Ἀριςοφάνης Νεφέλαις.

Φηγαιεῦσι· Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν. Φηγαιῆς δῆμος τῆς Αἰαντίδος, ὥς φησι Διόδωρος.

φηλώματα Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας ἐξαπάτας· φηλϐν γὰρ τὸ ἐξαπατᾶν.

Φηγέσιον· Λυσίας ἐν τῷ περὶ τϐ Βατράχϐ φόνϐ. Φηγϐς δῆμος τῆς Ἐρεχθηΐδος.

φθόην· Δημοσθένης ἐν τῷ περὶ τῶν Λυκέργϐ παίδων ᾗ Ἰσοκράτης Αἰγινητικῷ. τὴν νῦν φθίσιν λεγομένην φθόην ἔλεγον.

Φιλάμμων· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. Φιλάμμωνα τὸν Ἀθηναῖον πύκτην.

Φιλίσκος· Δημοσθένης. ὄνομα κύριον.

φιλοσοφεῖν ἀντὶ τϐ πονεῖσθαι φάσκειν Ἰσοκράτης περὶ τῆς εἰρήνης. Μένανδρος Θρασυλέοντι "φιλοσοφεῖ δὲ τϐθ' ὅπως καταπράξεται τὸν γάμον."

1. φαρμακῶν. τες A, φαρμακόν τὰ B. φαρμακῶντα — Στεφάνϐ om C. δημοσθενικὰ κατὰ AB. 2 16. ἔςι δὲ φαρμακῶν D, φαρμακὼν δ' ἐςὶν AB, φαρμακῶν C. 2. φαρμακῶν BCD. ἐμβεβλαμμένος A. Θεόπομπος C. 3. ιε^η C. 4. ϐτως om C. ἐκαλεῖτο ὡς ἰσαῖος καὶ λυσίας εἴρηκε :- D. 6 et 8. Φάϋλλος Valesius, φαῦλος ABCD. 6. § 124. 9. φελέα C. κήρωνος ABC. § 42. 10. φελλέας ἐκάλϐν om C. 11. v. 71. 12. φηγαιὴς A, φηγαιὸς C, φηγαλὸς rc B: pr enim om. 14. Ἀντιφῶν] ἀντὶ τοῦ C. ἐξαπάτας om C. 16. ὑπὲρ Valesius. βατράχων D, omisso τϐ. 18. φθόη BC. p. 642 36. 19. § 11. φθίην B. ἐκάλουν A. 20 — 22. om C. 20. § 319. τῶν ἀθηναίων A. 22. φιλέψιος. δημοσθένης κατὰ τιμοκράτους φιλεψίου μνημονεύει :- D. κύριον] κύριον. ἰϐ. AB. 24. φάσκειν] καὶ ἀσκεῖν Gronovius, om D. 25. τϐθ' ὅπως καταπράξεται Bentleius: τϐτο ὅπως καταπράξηται ABC, τϐτο ὅπως καταπράξῃ D, τϐτ' ὅπως καταπροΐξηται Salmasius. post 25, D φιλοτησία. δημοσθένης ἐν τῶ κατ' αἰσχίνϐ. ἡ κύλιξ ἣν κατὰ φιλίαν τοῖς φίλοις πρϐπινον φιλοτησία ἐκαλεῖτο, ὡς ὑπερίδης φησὶ καὶ ἄλεξις.

φιμοί. *Αἰσχίνης κατὰ Τιμάρχου* "καὶ φιμοὺς καὶ κυβευτικὰ ἕτερα ὄργανα." φιμὸς δ' ἐστὶν ὁ καλούμενος κημός, εἰς ὃν ἐνεβάλλοντο, καθά φασιν οἱ γλωσσογράφοι. *Δίφιλος Συνωρίδι* "ἕλκεις μέσον τὸν φιμόν, ὡς ἂν ἐμβάλῃ."

Φλυέα· Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου. Φλυεῖς δῆμος τῆς Κεκροπίδος. ἐκ τούτου δὲ τοῦ δήμου ἦν Εὐριπίδης ὁ τῆς τραγῳδίας ποιητής.

Φορβαντεῖον· Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. ὅτι τὸ Ἀθήνησιν Φορβαντεῖον ὠνομάσθη ἀπὸ Φόρβαντος βασιλεύσαντος Κουρήτων καὶ ὑπ' Ἐρεχθέως ἀναιρεθέντος, δεδήλωκεν Ἄνδρων ἐν η' τῶν Συγγενειῶν. ἦν δὲ Ποσειδῶνος υἱὸς ὁ Φόρβας, καθά φησιν Ἑλλάνικος ἐν α' Ἀτθίδος.

φορίνης· Ἀντιφῶν Ἀληθείας β'. ὅτι καὶ ἐπ' ἀνθρωπείου δέρματος ἐλέγετο ἡ φορίνη, καὶ Ἀριστομένης ἐν Γόησι δῆλον ποιεῖ.

φρατέρες· Δημοσθένης περὶ τοῦ ὀνόματος. φρατρία ἐστὶ τὸ τρίτον μέρος τῆς φυλῆς, φρατέρες δὲ οἱ τῆς αὐτῆς φρατρίας μετέχοντες, καὶ φρατρίζειν τὸ τῆς αὐτῆς φρατρίας μετέχειν· φρατρίαρχος δ' ἐστὶν ὁ τῆς φρατρίας ἄρχων.

Φρεάρριος· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἔστι δὲ δῆμος τῆς Λεοντίδος.

φροῦδος Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Ἡρώδου φόνου ἀντὶ τοῦ ἐκποδών. παρὰ πολλοῖς δὲ τοὔνομα ἐστίν.

1. φιμὸς B. § 69. 2. δ' add D. καλούμενος om D. οὗ B. ἐνεβάλοντο A, ἐνεβάλλοντο οἱ φιμοί Toup. p. 407. 3. ἕλκεου D. 4. μέσον τὸν D, μου ABCG. φημὸν AB. 5 — 7. om CG. φλυεία D, φλυεῖς AB. Φλυέα est § 3. κήρωνος A, κλήρωνος B. 6. δὲ] οὖν B. post 7. BCDFG φάσις λέγεται μὲν καὶ (μὲν καὶ om BCFG) ἐπὶ δημοσίου ἐγκλήματος, ὅταν τις ἀποφαίνῃ τῶν δημοσίων ἔχοντά τινα μὴ πριάμενον, λέγεται δὲ (δὲ om BCFG) καὶ ἐπὶ τῶν ὀρφανικῶν (ὀρφανῶν BCFG) οἴκων· ὅτε γὰρ μὴ ἐκμισθώσαιεν οἱ ἐπίτροποι τὸν οἶκον (ὅτε — οἶκον om BCFG) τῶν ἐπιτροπευομένων, ἔφαινεν αὐτὸν ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα. addit D ἵνα μισθωθῇ. ἔφαινεν δὲ καὶ εἰ ἐλάττονος ἢ κατὰ τὴν ἄδειαν (ἀξίαν?) μεμίσθωτο. τοῦ μὲν οὖν προτέρου τὰ μαρτύρια ἔνεστιν εὑρεῖν παρά τε δεινάρχου καὶ δημοσθένους, τῆς δὲ περὶ τῶν ὀρφανικῶν οἴκων φάσεως παρὰ λυσίου πρὸς τὴν φάσιν τοῦ ὀρφανικοῦ οἴκου. 10. ὑπὲρ BC. 11. ἐν] ἐν τῇ B. 12. πρώτῃ C. 13. φορίνη CG. καὶ om D. ἀνθρωπίνου C. 15. φρατέρες D, φράτερος AB, φράτορες C. περὶ τοῦ ὀνόματος om C, τοῦ om B. § 4. φατρία A, φρατορία C. 16. φράτερες A, φατερες B, φράτορες D, φρέτρες C. 16, 17, 18. φατρίας AB. 18. καὶ φρατρίαρχος ὁ C. 19. φρεάριος CN. ἐν τῷ ὑπὲρ BC. ἔστι δὲ om C. 21. ἡρωΐου B. § 29.

φρυκτωρῶν. φρυκτωρεῖν ἐςὶ κυρίως τὸ διὰ πυρσῶν ἀνατεινομένων σημαίνειν ὁτιοῦν· Δείναρχος ἐν τῇ Αἰσχίνου συνηγορίᾳ κατὰ Δεινίου.

Φρυνώνδας· Αἰσχίνης κατὰ Κτησιφῶντος. ἦν δὲ Ἀθηναίοις περιβόητος ἐπὶ πονηρίᾳ, οὐδὲν ἧττον Εὐρυβάτου.

Φρύνων· Δημοσθένης κατ' Αἰσχίνου. οὗτος τῶν ι' πρέσβεων εἷς ἦν τῶν μετ' Αἰσχίνου καὶ Δημοσθένους.

φύλαρχος· Δημοσθένης Φιλιππικοῖς. φύλαρχός ἐςιν ὁ κατὰ φυλὴν ἑκάςην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ, ὡς Ἀριςοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί.

Φυλή· Ἰσοκράτης ἐν τῷ περὶ τῆς εἰρήνης. δῆμός ἐςι φυλῆς τῆς Οἰνηΐδος· Μένανδρος Δυσκόλῳ "τῆς Ἀττικῆς νομίζετ' εἶναι τὸν τόπον Φυλήν, τὸ Νυμφαῖον δ' ὅθεν προέρχομαι Φυλασίων." Φιλόχορος δ' ἐν ζ' Ἀτθίδος φρούριον αὐτό φησιν εἶναι.

χάρακα Δημοσθένης τὸ χαράκωμα ὃ περιεβάλλοντό τινες ςρατοπέδῳ ἐπὶ σωτηρίᾳ. Μένανδρος Ἀσπίδι "πολλοὶ γὰρ ἐκλελοιπότες τὸν χάρακα τὰς κώμας ἐπόρθουν."

Χαλκεῖα· Ὑπερίδης ἐν τῷ κατὰ Δημέου ξενίας. τὰ Χαλκεῖα ἑορτὴ παρ' Ἀθηναίοις ἀγομένη Πυανεψιῶνος ἕνῃ καὶ νέᾳ, χειρώναξι κοινή, μάλιςα δὲ χαλκεῦσιν, ὥς φησιν Ἀπολλώνιος ὁ Ἀχαρνεύς. Φανόδημος δὲ οὐκ Ἀθηνᾷ φησὶν ἄγεσθαι τὴν ἑορτὴν ἀλλ' Ἡφαίςῳ. γέγραπται δὲ καὶ Μενάνδρῳ δρᾶμα Χαλκεῖα.

Χαρικλῆς εἷς τῶν λ'· Λυσίας.

χερνίβων· Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος "καὶ χερνίβων καὶ κανῶν ἁψόμενον." εἴη δ' ἂν ἀπ' ὀρθῆς τῆς χέρνιψ γενικὴ πληθυντικὴ χερνίβων· τῆς γὰρ χέρνιβος μέμνηνται οἱ κωμικοὶ ὡς

1. φρυκτωρεῖν B, om C. φρυκτωρεῖς C. πυρῶν BG. ἀναφαινομένων C. 2. Αἰσχίνῃ? κατηγορία ABC. 3. καὶ δεινίου C: vulgo κατὰ δινίου. 4. Αἰσχ. κ. Κτ.] ὄνομα κύριον D, om A. § 137. 5. ἐν C. ἧσσον C. 6. § 189. πρεσβευτῶν C. ἦν εἷς A, om C. 8. Phil. 1 26. φύλαρχός ἐςιν om C. 10. φησί om C. 11. § 100. δῆμός] φυλὴ δῆμός AB. 12. Δυσκόλῳ τῆς Ἀττικῆς om D. νομίζεται ABCG: correxit Dobiaeus. 13. τὸν τόπον εἶναι BCG. τὸν AB. νυμφιαῖον A. 14. φυλάξων C. ζ η C. 16. χαράκωμα A. ᾧ CG. περιεβάλοντό A, περιέβαλλόν C, περιέβαλόν BG. τὸ ςρατόπεδον BCG. 19. δήμου BC. τὰ om C. 20. ἐν ᾗ A, ἐν ᾧ BC. 24. om C. 25. διογένης B. § 78. 26. ἀψάμενον D. δ' ἂν D, κἂν B, ἂν AC.

παραλαμβανομένης εἰς τὰς θυσίας. ὁ γȣ̃ν Ἀριϛοφάνης ἐν Ὄρνισί φησι "παῖ παῖ, τὸ κανȣ̃ν αἴρεσθε ϗ τὴν χέρνιβα."

χίλιοι διακόσιοι. Ἰσαῖος ἐν τῷ πρὸς Ἰχόμαχόν φησιν "οὐδεὶς Λυσίδης ἐϛὶ τῶν διακοσίων ϗ χιλίων." οἱ πλȣσιώτατοι Ἀθηναίων χίλιοι ϗ διακόσιοι ἦσαν, οἳ ϗ ἐλειτȣ́ργȣν. μνημονεύȣσι δ' αὐτῶν ϗ ἄλλοι ῥήτορες ϗ Φιλόχορος ἐν τῇ ϛ'. Λυσίας δ' ἐν τῷ πρὸς Κλεινίαν ϗ Ἰσαῖος ἐν τῇ ὑπὲρ Νικίȣ συνηγορίᾳ τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσαντο χιλίȣς εἰπόντες.

χιλιωθέντα Λυκȣ̃ργος ἐν τῷ κατ' Ἀριϛογείτονος ἀντὶ τοῦ χιλίας ὄφλοντα. ὁ δὲ αὐτὸς ῥήτωρ ϗ ἐν τῷ κατὰ Κηφισοδότȣ φησὶ κεχιλίωσαι.

Χίλων ὄνομα κύριον· Αἰχίνης.

χλῆδος· Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα περὶ χωρίȣ βλάβης "ἔπειτα δὲ τὸν χλῆδον ἐκβαλὼν εἰς τὴν ὁδόν, ἐξ ὧν ὑψηλοτέραν ϗ ϛενωτέραν τὴν αὐτὴν ὁδὸν πεποιῆσθαι συμβέβηκεν." πᾶν πλῆθος χλῆδος λέγεται, ϗ ἔϛιν οἷον σωρός τις, μάλιϛα δὲ τὸ τῶν ἀποκαθαρμάτων τε ϗ ἀποψημάτων, ϗ ἡ τῶν ποταμῶν πρόχωσις, ϗ πολὺ μᾶλλον τῶν χειμάῤῥων, ὃ ϗ χέραδος καλεῖται. νῦν δὲ ἔοικεν ὁ ῥήτωρ λέγειν ὅτι χȣ̃ν ϗ φρυγανώδη τινὰ ἐκ τȣ̃ χωρίȣ σωρὸν ὁ Καλλικλῆς εἰς τὴν ὁδὸν ἐμβέβληκεν, ὡς ϗ αὐτὸς ἐν τοῖς ἑξῆς ὑποσημαίνει. κέχρηνται δὲ τῷ ὀνόματι πολλοί. Αἰχύλος Ἀργείοις "ϗ πάλτα κἀγκύλητα ϗ χλῆδον βαλών."

Χόες· Δημοσθένης ἐν τῷ περὶ τȣ̃ ὀνόματος. ἑορτή τις παρ' Ἀθηναίοις ἀγομένη Ἀνθεϛηριῶνος δωδεκάτῃ. φησὶ δὲ Ἀπολλόδωρος Ἀνθεϛήρια μὲν καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν Διονύσῳ ἀγομένην, κατὰ μέρος δὲ Πιθοίγια Χόας Χύτρȣς.

2. ἔρεσθε A. 3. ἰσχίμαχον A. 4. τῶν σ ρ̄ χιλίων B. 5. οἳ] ἢ A. καὶ om C. 6. καὶ οἱ ἄλλοι CD. τῇ om B. 7. δ' om C. 8. ἐχρήσατο C. 10. χίλια σοφὰ ὄντα ABC: correxit Valesius. 11. κεχιλιῶσαι codices, κεχιλιῶσθαι Salmasius, καὶ χιλιῶσαι Gronovius. 12. om C, Αἰσχίνης om B. § 78. 13. διογένης BC. § 22. 14. τὴν D. ἐμβαλὸν C. 15. συμβέβηκεν om B. 16. λέγεσθαι C. τις σωρός BC. 17. τὸ add D. τῶν ἀπὸ τῶν καθαρμάτων τε καὶ ἀπὸ ψηφισμάτων C. 18. πράχωσις BD. 19. ἔοικε δὲ νῦν C. 20. τινὰ post 19. χȣ̃ν D. 21. δὲ om BC. 22. ἀργείαις AB, ἀργίαις :– C. πολτα κὰν κύληταν A, ποτὰ κάν κύληγαν B, πάλτ' ἀναγκύλητα Salmasius. 24. διογένης ABC. τȣ̃ om N. § 16. 26. ἀνθεϛηρίαν ABCN. κοινῶς om C. 27. πυθοίγια BC. χοὰς BC. λύτρȣς AD, χύτρας BC.

Χολαργεύς· Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου. Χολαργία δῆμος τῆς Ἀκαμαντίδος.

Χολλεῖδαι· Λυσίας. δῆμος τῆς Λεοντίδος.

χρῆσαι. β' σημαίνει τοὔνομα τἀναντία· ϗ γὰρ τοὺς δανειστάς, ὡς παρ' Ἰσαίῳ ἐν τῷ πρὸς Καλυδῶνα ϗ παρ' Ἀριστοφάνει ἐν Νεφέλαις· φησὶ γὰρ "ὑπὸ τόκων χρήστων τε δυσκολωτάτων ἄγομαι φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι." ἐπὶ δὲ τοῦ δανειζομένου κέχρηνται τῷ ὀνόματι ἄλλοι τε ϗ Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ. ϗ ἐν τῇ πρὸς Ζηνόθεμιν παραγραφῇ φησὶν "οἱ δὲ δανεισταὶ τὸ ἐξ ἀρχῆς ἠπατημένοι, ὁρῶντες ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἄλλο δ' οὐδέν."

χρυσὶς ἡ φιάλη· Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος, Ἀριστοφάνης Εἰρήνῃ.

χρυσοχοεῖν· Δείναρχος ἐν τῷ κατὰ Πυθέου "πάλιν παρ' Αἰσχίνην ἀποφοιτήσας παρὰ τούτῳ δῆλον ὅτι χρυσοχοεῖν ἐμάνθανεν, ἀλλ' οὐ τὸ προκείμενον αὐτῷ πράττειν ἢ πάσχειν." κέχρηται τῇ παροιμίᾳ ϗ Πλάτων ἐν ε' Πολιτείας λέγων "τί δέ; ἦ δ' ὃς ὁ Θρασύμαχος, χρυσοχοεῖν οἴει τούσδε νῦν ἐνθάδε ἀφῖχθαι, ἀλλ' οὐ λόγων ἀκουσομένους;" ἄρξασθαι δέ φασι τὴν παροιμίαν ἐντεῦθεν. ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τὸ Ἀθηναίων ὡς ἐν Ὑμηττῷ φανείη χρυσοῦ ψῆγμα πολὺ ϗ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἱ δὲ ἀναλαβόντες ὅπλα ἐξέθεον ἐπ' αὐτούς. ἄπρακτοι δ' ὑποστρέψαντες ϗ μάτην κεκακοπαθηκότες ἔσκωπτον ἀλλήλους, λέγοντες "σὺ δὲ ᾤου χρυσοχοήσειν," ὅπερ δηλοῖ, σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας ϗ

1. χολαργοὺς B. τοῦ om B. κήρωνος ABC. § 8. Χόλαργος aut Χόλαργοι Valesius. 3. om BC. χολεῖδαι A. 4. χρῆσθαι A. ὡς om BC. 6. v. 240. 7. ἄγομαι φέρομαι om BC. ἐνεχειράζομαι A, ἐνεχυρίζομαι C. 8 et 13. διογένης BC. 9. § 6. § 12. 11. ἑαυτοῖς D, ἑαυτοὺς ABC. τῶν οὐ ῥημάτων AB, τοῦ οὐ ῥημάτων C. 12. δ' om A. 13. § 76. 14. εἰρήνης BC. v. 425. 15. χρυσοχοεῖον AB. αἰσχίνου BCG: cf. Valcken. ap. Pierson. Moer. p. 400. 16. τοῦτο BC. 17. οὐ] οὐδὲ B. αὐτῷ D, αὐτὸ ABC. ἢ πάσχειν est ex varia lectione. Salmasius. 18. ε^{η} C. p. 217 10. τί δέ om BC. 19. ἦν ὁ (δ' ὁ C) σὸς θρ. ABC. χρυσοχόης AB, χρυσοχόος C. οἴει] εἰ A, εἰς BC. 20. ἀκουσόμενος C. 21. τὸ] τῶν AC. 22. χρυσοῦ ψῆγμα πολὺ φανείη AB. 23. ἀναλαμβάνοντες A, ἀναβαίνοντες B. ὅπλα om AB. 24. αὐτό C, αὐτήν B. ὑποστρέφοντες C. 26. ὅπερ — p. 186 1. πλουτήσειν om AB.

χρυσοχοήσας πλετήσειν. ἐχλευάζοντο δὲ ϗ ὑπὸ τῶν κωμικῶν· Εὔβϐλος γϐν ἐν Γλαύκῳ φησὶν "ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα ϗ σιτί' ἐπὶ μύρμηκας ἡμερῶν τριῶν, ὡς χρυσοτεύκτϐ ψήγματος πεφηνότος."

Χύτροι· Λυσίας ἐν τῷ κατ' Αἰσχίνϐ περὶ τῆς δημεύσεως τῶν Ἀριςοφάνϐς χρημάτων "ἐπειδὴ τοίνυν τϐς Χύτρϐς ὁ Δημάρατος ἑάλω προδιδϐς." πόλις ἐςὶν ἐν Κύπρῳ ὅτω καλϐμένη, καθά φησι Ξεναγόρας ἐν ταῖς Νήσοις. ἔςι δὲ ϗ Ἀττικὴ τις ἑορτὴ Χύτροι, ἧς μνημονεύει Δείναρχος ἐν τῷ κατὰ Πυθέϐ. ἤγετο δὲ ἡ ἑορτὴ Ἀνθεςηριῶνος τρίτῃ ἐπὶ δέκα, ὥς φησι Φιλόχορος ἐν τῷ περὶ ἑορτῶν.

ψευδεγγραφὴ ὄνομα δίκης ἐςίν, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ ὡς καταψευσαμένϐ αὐτῶν τϐ ἐγγράψαντος ἐν τῇ σανίδι τῇ παρὰ τῇ θεῷ κειμένῃ, ὡς ἀδίκως ἐγγραφέντες ὀφείλειν τῷ δημοσίῳ. Λυκϐργος ἐν τῷ κατ' Ἀριςογείτονος ϗ Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα μνημονεύϐσι τϐ ὀνόματος.

ψευδοκλητία ὄνομα δίκης ἐςίν, ἣν εἰσίασιν οἱ ἐγγεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ, ἐπειδὰν αἰτιῶνταί τινας ψευδῶς κατεσκευάσθαι κλητῆρας καθ' ἑαυτῶν πρὸς τὴν δίκην ἀφ' ἧς ὦφλον. ἔςι δὲ παρά τε ἄλλοις ῥήτορσι ϗ Ἰσαίῳ ἐν τῷ πρὸς Νικοκλέα περὶ χωρίϐ.

ψιθυριςὴς Ἑρμῆς· Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας. ἦν τις Ἀθήνησιν Ἑρμῆς ὅτω καλϐμενος. ἐτιμᾶτο δὲ Ἀθήνησι ϗ ψίθυρος Ἀφροδίτη ϗ Ἔρως ψίθυρος.

1. ἐχλ. — κωμικῶν om C. καὶ add D. 2. ϐν BC. 3. λαβόντϐς A. ὅπλα :– D. σιτί' Valesius, σῖτον Erasmus Salmasius Toupius, συὸς I, σὺ ABC. 6 et 10. χύτρῃ A. 10. χύτροι — 11. ἑορτὴ om BC. 11. ἡ om A. δεκάτῃ D. 12. περὶ τῶν ἑορτῶν C. 13. ψευδογραφὴ BC. 15. τῷ θεῷ D, τῇ θεᾷ BCN. 17. τοὔνομα A. 19. ψευδοκλητία N, ψευδοκλησία A, ψευδόκλησις BC. γεγραμμένοι C. 20. τινες BC. ψεῦδος ABC. 22. ὤφειλον C. 24. ἐν τῷ om C. § 39.

ΜΟΙΡΙΔΟΣ ΑΤΤΙΚΙΣΤΟΥ.

Ἄγαμαι Ὑπερβόλȣ Ἀττικοί, ἄγαμαι Ὑπέρβολον Ἕλληνες.
ἀὴρ βαθεῖα Ἀττικοί, ἀὴρ βαθὺς Ἕλληνες.
ἀνέστησαν πᾶς ὁ δῆμος Ἀττικοί, ἀνέστη πᾶς ὁ δῆμος Ἕλληνες.
ἀθανάτω ἀγήρω Ἀττικοί, ἀθάνατοι ἀγήρατοι Ἕλληνες.
ἀναβῆναι τὴν γυναῖκα βȣ́λομαι Ἀττικοί, ἀναβῆναι ἐπὶ τὴν γυναῖκα Ἕλληνες.
αἴτιαι ὡς ὅσιαι Ἀττικοὶ βαρυτόνως, αἰτίαι ὡς εὐδίαι Ἕλληνες παροξυτόνως.
ἄνθην Ἀττικοί, ἄνθησιν Ἕλληνες.
ἄθυρμα δασέως Ἀττικοί, ψιλῶς Ἕλληνες.
ἀμφορέα ἁλιέα μακρῶς Ἀττικοί, βραχέως Ἕλληνες.
ἀγυιᾶ μακρῶς τὴν ἐπὶ τέλȣς Ἀττικοί, ἀγυιά Ἕλληνες.
ἀντίγραφα πληθυντικῶς Ἀττικοί, ἀντίγραφον ἑνικῶς Ἕλληνες.
ἀμυγδάλας θηλυκῶς Ἀττικοί, ἀμύγδαλα ȣ̓δετέρως Ἕλληνες.
ἀρχαιρεσίας θηλυκῶς Ἀττικοί, ὡς Δημοσθένης Φιλιππικοῖς, ἀρχαιρέσια ȣ̓δετέρως Ἕλληνες.
ἄσβολος Ἀττικοί, ἀσβόλη Ἕλληνες.
ἄλλοθι ἄλλοθεν ἄλλοσε Ἀττικοί, ἀλλαχόθι ἀλλαχόθεν ἀλλαχόσε καινότερον Ἀττικοὶ ϗ Ἕλληνες.
ἀπέδομεν ἀπέδοτε ἀπέδοσαν Ἀττικοί, ἀπεδώκαμεν ἀπεδώκατε ἀπέδωκαν Ἕλληνες.
ἀπολλὺς Ἀττικοί, ἀπολλύων Ἕλληνες.
ἄνοργοι Ἀττικοί, ἀνόργητοι Ἕλληνες.
ἀλλᾶς Ἀττικοί, ἀλλάντιον Ἕλληνες.
αὔξην Ἀττικοί, αὔξησιν Ἕλληνες.
ἀπαλλάξονται Ἀττικοί, ἀπαλλαγήσονται Ἕλληνες.
ἀπηλάθη Ἀττικοί, ἀπηλάσθη Ἕλληνες.

11. ἀφορεά P et μακρὸν. 12. ἄγυιᾱ μ. P. 18. ἀλλαχόσε Hudsonus: P ἀλλαχȣ̃. 19. καὶ om. P. 24. ἀλλᾶν α [τ] ἀλλαντί P. 26. ἀπαλλαξατε P.

ἀπαλλαξείοντες Ἀττικοί, ἀπαλλακτικῶς ἔχοντες Ἕλληνες.
ἀγόντων ᾀδόντων Ἀττικοί, ἀγέτωσαν ᾀδέτωσαν Ἕλληνες.
ἀκροᾷ Ἀττικοί, ἀκροᾶσαι Ἕλληνες.
ἄπεισιν Ἀττικοί, ἀπελεύσεται Ἕλληνες.
ἀλεῖς Ἀττικοί, ἀλέσεις Ἕλληνες.
ἀετόν Ἀττικοί, αἰετόν Ἕλληνες.
ἀνίςω Ἀττικοί, ἀνίςασο Ἕλληνες.
ἄθρους Ἀττικοί, ἀθρόους Ἕλληνες.
ἀνακοινῶσαι Ἀττικοί, ὡς Θουκυδίδης "ἀνακοίνωσον τοῖς φίλοις," ἀνακοινώσασθαι Ἕλληνες.
ἄφυκτον Ἀττικοί, ἄφευκτον Ἕλληνες.
ἀχθέσεται Ἀττικοί, ἀχθεσθήσεται Ἕλληνες.
ἀπελαθείς Ἀττικοί, μετὰ δὲ τοῦ σ Ἕλληνες.
ἀναβιῶν Ἀττικοί, ὡς Πλάτων Σκευαῖς "ἀναβιῶν ἐκ τῆς νόσου," ἀναβιώσασθαι κοινόν.
ἀροῦν Ἀττικοί, ἀροτριᾶν Ἕλληνες.
ἀείνων Ἀττικοί, ἀένναον Ἕλληνες.
ἄπλατον Ἀττικοί, ἄπλετον Ἕλληνες.
ἀκρατέςερον Ἀττικοί, ἀκρατώτερον κοινόν.
ἀπολλύασιν Ἀττικοί, ἀπολλύουσιν Ἕλληνες.
ἀνηλωμένα Ἀττικοί, ἀναλωμένα Ἕλληνες.
ἄρρενα Ἀττικοί, ἄρσενα Ἕλληνες.
ἀναχήσεται Ἀττικοί, ἀνέξεται Ἕλληνες.
ἀπόδυθι Ἀττικοί, ἀπόδυσαι Ἕλληνες.
ἀνθρωπείᾳ φύσει Ἀττικοί, ὡς Θουκυδίδης, ἀνθρωπίνῃ Ἕλληνες.
ἀδολέχης Ἀττικοί, ἀδόλεχος Ἕλληνες.
Ἀθήναζε Ἀττικοί, ἐξ Ἀθηνῶν Ἕλληνες.
αἰχυντηλός Ἀττικοί, αἰχυντηρός Ἕλληνες.
ἀποκτειννύναι Ἀττικοί, ἀποκτείνειν Ἕλληνες.
ἀνάθημα Ἀττικοί, ἀνάθεμα Ἕλληνες.
ἀνοητίαν Ἀττικοί, ἀνοησίαν Ἕλληνες.
ἀπεῖπα Ἀττικοί, ἀπεῖπον Ἕλληνες.
ἀνυπόδητος Ἀττικοί, ἀνυπόδετος Ἕλληνες.

1. ἀπαλλαξίοντες. 9. ἀνακοίνωσαι P. 12. ἀχθήσεται P. 17. ἀένναον] ἀεννάων P, et ubi post 19. iterum ponuntur haec 16 — 18. ἀροῦν — Ἕλληνες, ἀεν άων. 20. ἀπολλύουσιν Berglerus: P ἀπόλλυσιν. 27. post Ἀττικοί adde εἰς Ἀθήνας Ἕλληνες. Ἀθήνηθεν Ἀττικοί, 31. ἀνοητίας P.

ἁλυκόν Ἀττικοί, ὡς Ἀριϛοφάνης Λυσιϛράτῃ, ἁλικόν κοινόν.
ἀνοιγνύτω Ἀττικοί, ἀνοιγέτω Ἕλληνες.
ἀπέκτονεν Ἀττικοί, ἀπέκταγκεν Ἕλληνες.
ἄκναπτον Ἀττικοί, ἄγναφον Ἕλληνες.
ἀωρί Ἀττικοί, ἀωρίᾳ Ἕλληνες.
Ἀπόλλω Ἀττικοί, Ἀπόλλωνα Ἕλληνες.
ἄχρι ἄνευ τȣ̃ σ Ἀττικοί, ἄχρις Ἕλληνες.
ἀμείνω Ἀττικοί, ἀμείνονα Ἕλληνες.
ἀϛαφίς Ἀττικοί, ϛαφίς Ἕλληνες.
ἀσκαρίζειν Ἀττικοί, σκαρίζειν Ἕλληνες.
αἰέλȣρος Ἀττικοί, αἴλȣρος Ἕλληνες.
ἀρύτεσθαι Ἀττικοί, ἀρύεσθαι Ἕλληνες.
ἀπέδραν Ἀττικοί, ἀπέδρων Ἕλληνες.
ἄξομαι παθητικῶς Ἀττικοί, ἄξω ἐνεργητικῶς Ἕλληνες.
ἀπαγέσθω παθητικῶς Ἀττικοί, ἀπαγέτω ἐνεργητικῶς Ἕλληνες.
ἀδωρότατος ὁ μὴ λαμβάνων δῶρα Ἀττικοί.
ᾄσεται Ἀττικοί, ᾄσει Ἕλληνες.
ἀδαγμός ἀδάξασθαι Ἀττικοί, κνησμός κνήσασθαι Ἕλληνες.
ἀποδιοπομπεῖσθαι Ἀττικοί, ἀποκαθαίρεσθαι κοινόν.
ἀσπαλιευτής ὁ τῇ ὁρμιᾷ χρώμενος ἁλιεὺς Ἀττικοί, ὁρμιευτής Ἕλληνες.
ἀνακῶς Ἀττικοί, ὡς Πλάτων ὁ κωμικὸς "καὶ τὰς θύρας ἀνακῶς ἔχειν." [ἀντὶ τȣ̃] ἀσφαλῶς ἢ φυλακτικῶς κοινόν.
ἀκαρῆ Ἀττικοί, μικρόν Ἕλληνες.
ἀμόργινον Ἀττικοί, λεπτὸν ὕφασμα Ἕλληνες.
ἀμφορέα τὸν δίωτον ϛάμνον Ἀττικοί, ϛάμνον Ἕλληνες.
ἀμφορεύς Ἀττικοί, μετρητής Ἕλληνες.
ἀμφίετες Ἀττικοί· τὸ γὰρ κατ' ἐνιαυτὸν ἀμφίετες λέγȣσιν, ὡς ἀμφημερινόν τὸ καθημερινόν. τὸ δὲ κατ' ἔτος Ἕλληνες.
ἀτεχνῶς Ἀττικοί, ἁπλῶς κοινόν.
αὐτοσχεδιάζειν Ἀττικοί, σχεδιάζειν Ἕλληνες.
ἄθλιος Ἀττικοί, ἀτυχής Ἑλληνικὸν καὶ κοινόν.
ἀπαιολᾶν Ἀττικοί, ἀποπλανᾶν Ἕλληνες.
ἀμυγδάλας τὰ χλωρὰ κάρυα Ἀττικοί, κάρυα δὲ Ἕλληνες.
αὐτοβοεί Ἀττικοί, ὡς Θȣκυδίδης ἐν α', παραχρῆμα Ἕλληνες.

1. ὡς om P. idem λυσιϛράτω. 2. ἀνυγνύτω et ἀνυγέτω P. 3. ἀπέκτυγκεν P. 6. ἀπόλλονα P. 11. αἰαίλȣρος P. 13. ἀπέδρα P. 18. ἄδαγμος P. 22. τῆς Piersonus. post 34. P iterum ἄθλιος — αὐτοβοεῖα: ita enim pro αὐτοβοεί. 35. ὡς om P.

ἀκκισμός Ἀττικοί, προσποίησις Ἕλληνες.
ἀκέςρια Ἀττικοί, ἠπήτρια Ἕλληνες.
ἀποσκλῆναι Ἀττικοί, ἀποξηρανθῆναι Ἕλληνες.
ἀμηγέπη Ἀττικοί, ἀμωσγέπως Ἕλληνες.
ἀπήποτε Ἀττικοί, ὅπως ποτὲ Ἕλληνες.
ἁλμάδες Ἀττικοί, κολυμβάδες ἐλαῖαι Ἕλληνες.
ἀλίσας Ἀττικοί, κονίσας ἢ κυλίσας Ἕλληνες.
ἁλίπεδα ϰ̔ μάλιςα τὰ πρὸς τῇ θαλάσσῃ πεδία Ἀττικοί.
ἀγώγιμα ϰ̔ φόρτον Ἀττικοί, φορτία Ἕλληνες.
αἱμασιά Ἀττικοί, λιθολογία ἢ τὸ ἐκ χαλίκων συγκείμενον Ἕλληνες.
ἀποφθάρηθί μȣ Ἀττικοί, ἀπαλλάγηθί μȣ Ἕλληνες.
ἀμπεχόνιον Ἀττικοί, λεπτὸν ἱμάτιον Ἕλληνες.
ἀποφράδες ἡμέραι Ἀττικοί, ἀπηγορευμέναι τὰς πράξεις Ἕλληνες.
ἀργυραμοιβοί Ἀττικοί, κολλυβιςαί Ἕλληνες.
ἀργυρογνώμονες Ἀττικοί, δοκιμαςαί Ἕλληνες.
ἄρριχος κόφινος πυκνός, εἰς ὃν ἐνετρύγων. Ἀριςοφάνης γοῦν Ὄρνισι τὴν διαφορὰν αὐτῶν λέγει· „ἀλλ' ὡς τάχιςα τὰς ἀρρίχȣς ϰ̔ τοὺς κοφίνȣς ἅπαντας ἐμπίπλη πτερῶν.“ κόφινος κοινόν.
ἀλȣργές Ἀττικοί, πορφυροῦν Ἕλληνες.
ἀξιωτέρας Ἀττικοί, εὐωνοτέρας Ἕλληνες.
ἀςράβη Ἀττικοί, νωτοφόρος ἡμίονος Ἕλληνες.
ἀσκάντης Ἀττικοί, κράβατος Ἕλληνες.
ἀσπάλαθοι Ἀττικοί, ἄκανθαι Ἕλληνες.
αὐτοδίκην Ἀττικοί, αὐθέντην Ἕλληνες.
ἀχανής Ἀττικοί, ἄφωνος Ἕλληνες.
ἄση Ἀττικοί, ἀηδία Ἕλληνες.
ἀφυπνίσαι Ἀττικοί, ἐξυπνίσαι Ἕλληνες.
ἄγχειν Ἀττικοί, πνίγειν Ἕλληνες.
ἀνύσας λέγε Ἀττικοί, συνελὼν λέγε Ἕλληνες.
ἀμβλίσκειν Ἀττικοί, ὠμοτοκεῖν Ἕλληνες.
ἀμφορεαφόρȣς Ἀττικοὶ τȣ̀ς μισθȣ̃ τὰ κεράμια φέροντας.
ἀναρριχᾶσθαι Ἀττικοί, προβαίνειν ἀνέρπων Ἕλληνες.
ἀμφιμάσχαλος χιτὼν Ἀττικοί, χειριδωτός Ἕλληνες.
ἀνακραγεῖν Ἀττικοί, ἀναφωνῆσαι Ἕλληνες.

4 et 5. immo ἀμηγέπη Ἀττικοί, ὅπη ποτὲ Ἕλληνες. ἀμωσγέπως Ἀττικοί, ὅπως ποτὲ Ἕλληνες. 9. ἀγώγημα P. 10. αἰθολογία P. 14. κολυμβιςαὶ P. 18. ἐμπίπλει πέτρω P. 28. ἀφυπνῆσαι P.

ἀπάτη ἡ πλάνη παρ' Ἀττικοῖς, ἀπάτη ἡ τέρψις παρ' Ἕλλησιν.
ἀκαλήφη Ἀττικοί, κνίδη Ἕλληνες.
ἄκεσμα Ἀττικοί, ἀκρόαμα Ἕλληνες.
ἀθλοθέτης Ἀττικοί, ἀγωνοθέτης Ἕλληνες.
ἄρτι οἱ μὲν Ἀττικοὶ τὸ πρὸ ὀλίγου, οἱ δὲ Ἕλληνες καὶ ἐπὶ τοῦ νῦν λέγουσιν.
ἅλμην τὸν τῶν ἰχθύων ζωμὸν Ἀττικοί. οἱ δὲ Ἕλληνες ἅλμην τὸ ἁλμυρὸν ὕδωρ. ζωμὸν δὲ ὥσπερ τῶν κρεῶν, οὕτω καὶ τῶν ἰχθύων κοινῶς λέγουσιν.
ἀναθεῖναι τὸ φορτίον Ἀττικοί, ἐπιθεῖναι Ἕλληνες.
ἀγοράζειν ἐκτείνοντες τὸ δεύτερον ᾱ Ἀττικοί, ἐν ἀγορᾷ διατρίβειν Ἕλληνες.
ἀνιμᾶν Ἀττικοί, ἀνέλκειν Ἕλληνες.
ἀνθοσμίαν Ἀττικοί, εὔπνουν Ἕλληνες.
ἀγαθοῦ δαίμονος πόμα Ἀττικοί, τὴν τελευταίαν πόσιν Ἕλληνες.
αἰονᾶν Ἀττικοί, καταντλεῖν Ἕλληνες.
ἀνεμιαῖον Ἀττικοί, ὑπηνέμιον Ἕλληνες.
ἀποκναίεις Ἀττικοί, ἀναιρεῖς Ἕλληνες.
ἀστείζεσθαι Ἀττικοί, πολιτικεύεσθαι (τουτέστιν ὡραΐζεσθαι) Ἕλληνες.
Ἄνακες καὶ Ἀνάκιον Ἀττικοί, Διόσκοροι καὶ Διοσκορεῖον Ἕλληνες.
ἀνακές ὀξυτόνως Ἀττικοί, ὡς καὶ Εὔπολις Αἰξίν, ἀθεράπευτον Ἕλληνες.
ἀκμήν οὐδεὶς τῶν Ἀττικῶν ἀντὶ τοῦ ἔτι, ἢ μόνος Ξενοφῶν ἐν τῇ Ἀναβάσει· Ἕλληνες δὲ χρῶνται.
ἀμοιβήν οὐδεὶς τῶν Ἀττικῶν ῥήτωρ· χάριν γὰρ λέγουσι τὴν ἀμοιβήν ἄμυναν· λέγει δὲ τῶν Ἀττικῶν οὐδείς.
ἀπετέλεσεν Ἀττικοί, ἀπήρτισεν Ἕλληνες.
ἀφηλικεστέραν τὴν πρεσβυτέραν Ἀττικοί, τὴν νεωτέραν Ἕλληνες.
ἀποκήρυκτον Ἀττικοί, ἀπόρρητον Ἕλληνες. παρ' οὐδενὶ τῶν παλαιῶν.
ἀπρίξ τὸ ταῖς χερσὶν ἀμφοτέραις καταχεῖν βίᾳ Ἀττικοί.
ἄμης Ἀττικοί, ἔγχυτος πλακοῦς Ἕλληνες.
ἀφροντιστεῖν Ἀττικοί, ἀμεριμνεῖν Ἕλληνες.
ἀμᾶν Ἀττικοί, θερίζειν Ἕλληνες.
ἀνακωχή Ἀττικοί, ἀνοχή Ἕλληνες.

14. ἔμπνουν P. 21. ὡς om P. 23. ἀντὶ τοῦ add Hudsonus.
27. ἀπήρτησεν P. 29. ἀποκήρυκτον Hudsonus: P αὐτοκήρυκτον.
33. ἀμεριμνῆν P.

ἀμφιδήριτον τὸν ἀγχώμαλον, ὡς Θουκυδίδης, Ἀττικοί· πάρισον Ἕλληνες.

ἀναδάσασθαι Ἀττικοί, ἀναμερίσασθαι Ἕλληνες.

ἁπληγίς Ἀττικοί, ἁπλοῦν ἱμάτιον Ἕλληνες.

αὐλία θύρα Ἀττικοί, πυλὼν Ἕλληνες.

αὐτοματίσαντες Ἀττικοὶ ἀντὶ τοῦ ἀφ᾽ ἑαυτῶν τι πράξαντες.

ἀμέμπτους οὐκ ἐκείνους τοὺς μὴ ἀξίους μέμψεως ἀλλὰ τοὺς μὴ μεμφομένους.

ἀδηφάγους τριήρεις ἔλεγον τὴν Πάραλον καὶ τὴν Σαλαμινίαν διὰ τὰ εἰς αὐτὰς ἀναλώματα.

ἀγκυρίσαι τὸ παλαιστρικόν.

ἀρυβαλλόν. ἔστι δὲ ποτηρίου εἶδος στενόστομον.

βαλανεύς παρὰ Πλάτωνι καὶ Ἀριστοφάνει Πελαργοῖς.

βραδύτερον Ἀττικοί, βράδιον Ἕλληνες.

βδάλλειν Ἀττικοί, ἀμέλγειν Ἕλληνες.

βδύλλειν Ἀττικοί, βδεῖν Ἕλληνες.

βλαβεῖμεν βλαβεῖτε βλαβεῖεν Ἀττικοί, βλαβείημεν βλαβείητε Ἕλληνες.

βουβῶνας Ἀττικοί, βομβῶνας Ἕλληνες.

βραγχᾶν Ἀττικοί, βραγχιᾶν Ἕλληνες.

βελτίους Ἀττικοί, βελτίονες Ἕλληνες.

βῶλος θηλυκῶς Ἀττικοί, ἀρσενικῶς Ἕλληνες.

βιβλία διὰ τοῦ ι, ὡς Πλάτων, Ἀττικοί· βυβλία, ὡς Δημοσθένης, κοινόν.

βολίτοις Ἀττικοί, βολβίτοις Ἕλληνες.

βᾱδίζειν Ἀττικοί, βραχέως Ἕλληνες.

βασίλειαν Ἀττικοί, βασίλισσαν Ἕλληνες.

βαλλάντιον Ἀττικοί, μαρσίππιον Ἕλληνες.

βούπαις Ἀττικοί, ἔξακμος Ἕλληνες.

βασμός Ἀττικοί, βαθμός Ἕλληνες.

βουλυτός ἡ ὥρα τῆς τῶν βοῶν λύσεως Ἀττικοί.

βρωμᾶσθαι Ἀττικοί, ὀγκᾶσθαι Ἕλληνες.

βατίς θηλυκῶς τὸ θαλάττιον Ἀττικοί, βάτος Ἕλληνες.

βάτος τὸ τῆς ἀκάνθης εἶδος. ἡ βάτος θηλυκῶς Ἕλληνες.

βρύκειν Ἀττικοί, βρύχειν Ἕλληνες.

βήττειν Ἀττικοί, βήσσειν Ἕλληνες.

βαυκαλᾶν Ἀττικοί, κατακοιμίζειν Ἕλληνες.

7. μὴ ante ἀξίους om P. 17. βάλεῖμεν. βάλεῖτε. βάλεῖεν et βάλείημεν βάλείητε P. 37. βαυκαλῶν P.

βλάβος Ἀττικοί, βλάβη κοινόν.
βραβεὺς Ἀττικοί, βραβευτὴς Ἕλληνες.
βεβιασμένη Ἀττικοί, ἐφθαρμένη Ἕλληνες.
βαλβῖδες αἱ ἐπὶ τῶν ἀφέσεων βάσεις ἐγκεχαραγμέναι, αἷς ἐπέβαινον οἱ δρομεῖς, ἵν' ἐξ ἴσȣ ἵςαιντο· διὸ ϗ οἱ κήρυκες ἐπὶ τῶν τρεχόντων "βαλβῖδα ποδὸς θέτε πόδα παρὰ πόδα" ϗ νῦν ἔτι λέγȣσιν. Ἀττικοί. ὕσπληξ δὲ κοινόν.
βωμολόχος ὁ πρὸς τοῖς βωμοῖς λοχῶν ἐπαίτης.
βόθρος Ἀττικοί, βόθυνος κοινόν.
βότρυς μακρῶς Ἀττικοί, βραχέως Ἕλληνες.
βρενθύεσθαι τὸ μετασυνωνοίας ἐπαίρεσθαι Ἀττικοί.
βοήσεται Ἀττικοί, βοήσει Ἕλληνες.
βαδιȣ̃μαι βαδιεῖ βαδιεῖται ϗ τὰ ὅμοια Ἀττικοί.
βιάσασθαι Ἀττικοί, φθεῖραι Ἕλληνες.
βλαφθέντες Ἀττικοί, βλαβέντες Ἕλληνες.
γεννηταὶ ϗ τὸ πρᾶγμα ϗ τὸ ὄνομα. εἰσὶ δὲ οἱ γεννηταὶ τοιόνδε τι. ἡ πόλις ἡ τῶν Ἀθηνῶν τὸ παλαιὸν διεκεκόσμητο δίχα, εἴς τε τȣ̀ς γεωργȣ̀ς ϗ δημιȣργȣ́ς, ȣ̃τοι δὲ πάλιν διῄρηντο εἰς φυλὰς δ', αἱ δὲ φυλαὶ ἑκάςη εἰς τριττῦς, εἰς δὲ ἑκάςην τριττὺν εἰσήχθη γένη λ', ȣ̓θὲν ἀφ' αἵματος ἀλλήλοις προσήκοντες ἀλλ' ἀπὸ τȣ̃ πολιτικȣ̃ γένȣς ȣ̃τως κατωνομασμένοι.
γέλων Ἀττικοί, γέλωτα Ἕλληνες.
γίγνεται Ἀττικοί, γίνεται Ἕλληνες.
γέλοιον βαρυτόνως Ἀττικοί, γελοῖον προπερισπωμένως Ἕλληνες.
γενετυλλίδα τὴν μοῖραν Ἀττικοί, γένεσιν Ἕλληνες.
γνωσιμαχῆσαι Ἀττικοί, ὡς Ἀριςοφάνης Ὄρνισιν, μετανοῆσαι Ἕλληνες.
γρῖφοι τὰ ἐν τοῖς πότοις προβαλλόμενα ζητήματα Ἀττικοί.
γραῦς πληθυντικῶς Ἀττικοί, γραίας Ἕλληνες.
γλαμῶσα Ἀττικοί, λημῶσα κοινὸν ἀμφότερα.
γήτη Ἀττικοί, κρόμυα Ἕλληνες.
γομφίȣς Ἀττικοί, μύλȣς Ἕλληνες.
γνοῖμεν Ἀττικοί, γνοίημεν Ἕλληνες.
γαλῆ Ἀττικοί, γαλέα Ἕλληνες.
γόης Ἀττικοί, κόλαξ Ἑλληνικὸν ϗ κοινόν.

9. βόθυνον P. 11. μετ' ἀλαζονείας? 16. γεννηταὶ] an γεννηταί. Ἀττικόν? 17. τοι P. 19. τριττας P. 21. κατωνομασμένη P. 24. βαρ.] προπαροξυτόνως? sed cf. p. 199 16 et 203 10. 29. γραῖα P. 34. γαλή P.

*γραψάμενος Ἀττικοί, γράψας Ἕλληνες.
γεγωνεῖν ϗ γεγωνίσκειν, ὡς Θουκυδίδης, Ἀττικοί, βοᾶν ϗ κράζειν Ἕλληνες.
γέλγη ϗ γελγοπώλης Ἀττικοί, ῥῶπος ϗ ῥωποπώλης Ἕλληνες.
γηρᾶναι ϗ καταγηρᾶναι Ἀττικοί, γηρᾶσαι ϗ καταγηρᾶσαι Ἕλληνες.
γηθυλλίς Ἀττικοί, ἀμπελόπρασον Ἕλληνες.
γάργαλος Ἀττικοί, γαργαλισμός Ἕλληνες.
γυμνάσεται Ἀττικοί, γυμνασθήσεται Ἕλληνες.
γνωστῆρας, ὡς Ξενοφῶν, τοὺς γνώστας.
δακρύοις Ἀττικοί, δάκρυσιν Ἕλληνες.
δοίημεν δοίητε Ἀττικοί, δῴημεν δῴητε Ἕλληνες.
διωκάθειν κοινὸν Δωριέων ϗ Ἰώνων, διώκειν Ἕλληνες.
δεδιττόμενος Ἀττικοί, ἐκφοβῶν Ἕλληνες.
διαγράφειν τὸ ἐξαλείφειν Πλάτων Πολιτείας γ'.
δρυπέπης Ἀττικοί, πέπειρος Ἕλληνες.
δεδιακόνηκα Ἀττικοί, δεδιηκόνηκα Ἕλληνες.
δέω Ἀττικοί, δεσμῶ Ἕλληνες.
δευσοποιοί Ἀττικοί, βαφεῖς κοινόν. δευσοποιὸν δὲ τὸ δυσέκπλυτον.
δέκετες Ἀττικοί, δεκάετες Ἕλληνες.
δεδήσεται Ἀττικοί, δεθήσεται Ἕλληνες.
διαβιβῶ Ἀττικοί, διαβιβάσω Ἕλληνες.
δυσωπεῖσθαι ἀντὶ τοῦ φοβεῖσθαι Ἀττικοί, ὡς ϗ Πλάτων ἐν Φαίδρῳ. χρῶνται δ' αὐτῷ οἱ Ἕλληνες ἀντὶ τοῦ αἰδεῖσθαι.
διάγνωσιν Ἰσαῖος τὴν ὑφ' ἡμῶν διαδικασίαν.
δυσήριδος ϗ δύσηρις Ἀττικοί, ϗ Πλάτων Νόμων θ', δύσερις Ἕλληνες.
δωριάζειν τὸ παραγυμνοῦσθαί τινα μέρη.
δεσμά οὐδετέρως Ἀττικοί, δεσμοί ἀρσενικῶς Ἕλληνες.
δεικνῦσι προπερισπωμένως Ἀττικοί, δεικνύουσιν Ἕλληνες. δεικνύασι δὲ οἱ δεύτεροι Ἀττικοί.
δρύφακτος ἡ θύρα τοῦ δικαστηρίου Ἀττικοί.
διέφθορεν Ἀττικοί, διέφθαρκεν Ἕλληνες.
δρεπάνη Ἀττικοί, δρέπανον Ἕλληνες.
διαφορότητος Πλάτων Θεαιτήτῳ. παρ' ἄλλῳ οὐχ εὗρον.
δυσεντερία θηλυκῶς Ἀττικοί, δυσεντέριον Ἕλληνες.
δημέμενον Ἀττικοί, γελοιάζοντα Ἕλληνες.

2. ὡς om P. 12. καὶ om P. 16. δεδιηκόνηκα ἀττ. διηκόνηκα ill. Valcken. diatr. p. 278.

διανεκεῖ λόγῳ, ὡς Πλάτων Ἱππίᾳ, Ἀττικοί, διηνεκεῖ Ἕλληνες.
δεῦσιν Ἀττικοί, δεσμεῦσιν Ἕλληνες.
δελφίς ὄργανον ἐν ναυμαχίᾳ μολιβοῦν, ὅθεν καὶ Θουκυδίδης νῆας δελφινοφόρους.
δήπουθεν Ἀττικοί, δηλονότι Ἕλληνες.
διῆρες Ἀττικοί, ὑπερῷον κοινόν.
δόχμη Ἀττικοί, σπιθαμή Ἕλληνες.
διαλέγεσθαι καὶ τὸ πλησιάζειν ταῖς γυναιξίν, ὡς Ὑπερείδης.
δένδροις Ξενοφῶν, δένδρεσι Θουκυδίδης.
δείλης πρωΐας τὸ μετὰ ἕκτην ὥραν, δείλης ὀψίας πρὸς ἑσπέραν. κατ' ἰδίαν δὲ δείλης οὐ λέγουσιν Ἀττικοί. λέγεται δὲ μόνον δείλης καθ' ἑαυτὸ παρὰ τοῖς Ἕλλησιν.
δίαιτα Ἀττικοί, κρίσις πρὸ δίκης Ἕλληνες.
Δημοσθένας Ἀττικοί, Δημοσθένεις τὸ ἀνάλογον Ἕλληνες.
ἕλξει Ἀττικοί, ἑλκύσει Ἕλληνες.
ἔχθιστος Ἀττικοί, ἐχθρότατος Ἕλληνες.
εὔθυνα τρόπος κρίσεως ἀρξάντων ἢ πρεσβευσάντων.
ἐνετειλάμην παρ' οὐδενί, πλὴν ἀντὶ τοῦ ν̄ τὸ π̄ ὁ γραφεὺς ἔγραψεν· ἐπετέλλετο γὰρ ἀέθλους Ὅμηρος λέγει.
ἐρρύπηνα ἐκάθηρα Ἀττικοί, ἐρρύπανα ἐκάθαρα λέγουσιν Ἕλληνες.
εὐκταῖον ἑνικῶς παρ' οὐδενὶ τῶν παλαιῶν εἰ μὴ παρὰ Πλάτωνι ἐν Νόμοις.
εὐχολῶ οὐδεὶς τῶν παλαιῶν, ἀλλὰ χολὴν ἄγω.
εἶεν Ἀττικοί, ἄγε δή Ἕλληνες.
ἐγχυτρισμὸς ἡ τοῦ βρέφους ἔκθεσις, ἐπεὶ ἐν χύτραις ἐξετίθεντο.
εὐπατρίδαι Ἀττικοί, αὐτόχθονες Ἕλληνες.
εὐθύ Ἀττικοί, ἐπ' εὐθείας Ἕλληνες.
ἐπείσιον Ἀττικοί, ἐφήβαιον Ἕλληνες.
ἐρρηφόροι Ἀττικοί, αἱ τὴν δρόσον φέρουσαι τῇ Ἕρσῃ, ἥτις ἦν μία τῶν Κεκροπίδων.
ἐπίκληρος ἡ ἐπὶ τῇ οὐσίᾳ τρεφομένη κόρη.
εὔηθες τὸ χρηστόν, ὡς Θουκυδίδης, Ἀττικοί, εὔηθες τὸ ἀνόητον Ἕλληνες.
ἔκδημος Ἀττικοί, ἀπόδημος Ἕλληνες.
ἐπιτροπῆς εἶναι δίκας· τὸ γὰρ κακῆς ἐπιτροπῆς ἀνόητον· ἀγαθῆς γὰρ οὐδεὶς δικάζεται.

13 extr. addit P κρίσις Ἕλληνες. 20. ἐρύπηνα et ἐρύπανα P. 23. ἄγων P.
32. ὡς om P.

ἐξαληλιμμένον ἀντὶ τȣ̃ κεχρισμένον, ὡς Θȣκυδίδης.
εὐλαβεῖσθαι ἀντὶ τȣ̃ φυλάττεσθαι, ὡς Δημοσθένης ἐν Φιλιππικοῖς, Ἀττικοί, εὐλαβεῖσθαι ἀντὶ τȣ̃ φοβεῖσθαι Ἕλληνες.
ἐξίλλειν Ἀττικοί, ἐξείργειν Ἕλληνες, ἐκβάλλειν κοινόν.
εὐκαιρεῖν ȣ̉δεὶς εἴρηκε τῶν παλαιῶν, Ἕλληνες δέ.
ἐκρεμάννυεν Ἀττικοί, ἐκρήμνα Ἕλληνες.
ἐλῶ Ἀττικοί, ἐλάσω Ἕλληνες.
ἐνώτια Ἀττικοί, ἐνώδια Ἕλληνες.
εἰκάθοιμεν Ἀττικοί, εἴκοιμεν Ἕλληνες.
εἰσῆχεν Ἀττικοί, εἰσαγήοχεν Ἕλληνες.
εἴξασιν Ἀττικοί, ἐοίκασιν Ἕλληνες.
εἰκώς Ἀττικοί, ἐοικώς Ἕλληνες.
ἐπιμέλȣ παροξυτόνως Ἀττικοί, περισπωμένως Ἕλληνες.
ἐπαίσαμεν Ἀττικοί, ἐπαίξαμεν Ἕλληνες.
ἔζην Ἀττικοί, ἔζων Ἕλληνες.
ἐκληρονόμησε τῆς οὐσίας Ἀττικοί, ἐκληρονόμησε τὴν οὐσίαν Ἕλληνες.
ἐπιτροπεῦσαι τὸν παῖδα Ἀττικοί, ἐπιτροπεῦσαι τȣ̃ παιδός Ἕλληνες.
εὔμορφον παρ' ȣ̉δενὶ εὗρον, ἀλλὰ εὐπρεπῆ. εὐμορφίαν παρὰ Πλάτωνι ἐν Νόμοις κ̀ παρὰ Ξενοφῶντι, σπάνιον δέ.
ἐπιτίμιον Ἀττικοί, πρόςιμον Ἕλληνες.
ἐπιτεθυμμένον Ἀττικοί, ἐπιτετυφωμένον ἢ ἐπικεκαυμένον Ἕλληνες.
ἑταιρίςριαι Ἀττικοί, τριβάδες Ἕλληνες.
ἐθελέχθρων Ξενοφῶν Ἀπομνημονεύμασιν.
εἰς τρίτην ἡμέραν Ἀττικοί, εἰς τρίτην καθ' ἑαυτὸ μόνον Ἕλληνες.
εἰς Διονυσίȣ Ἀττικοί, πρὸς Διονύσιον Ἕλληνες.
ἑτερόφθαλμον Ἀττικοί, μονόφθαλμον Ἕλληνες.
ἐτετάχατο Ἀττικοί, τεταγμένοι ἦσαν Ἕλληνες.
ἐμπολή τὰ φορτία Ἀττικοί, ὡς Ἀριςοφάνης "τὴν ἐμπολὴν ὅπως μὴ κ̀ φέρων κατάξῃ." τὸ δὲ ἐκ τῶν φορτίων συνειλεγμένον Ἕλληνες.
ἐμπολήσαντες Ἀττικοί, ὠνήσαντες Ἕλληνες.
ἐπισίξας Ἀττικοί, ἐπιςίξας Ἕλληνες.
ἐπῴζειν τὸ ἐπὶ τοῖς ᾠοῖς καθῆσθαι.

1. ἐξαλεμμένον P. 6. ἐκρίμνα P. 11. εἴξας P. 15. Ἀττικοί om P.
30. ἐμπολῇ P. 30 et 33. Ἀττικοί om P.

ἐρεγμία Ἀττικοί, ἐρεγμός Ἕλληνες.
ἐρεσχηλεῖν Ἀττικοί, διαπαίζειν Ἕλληνες.
ἔγγυον Ἀττικοί, ἐγγυητήν Ἕλληνες.
εὐφήμει Ἀττικοί, σίγα Ἕλληνες.
εἴσεται Ἀττικοί, γνώσεται κοινόν.
εἰ γάρ Ἀττικοί, εἴθε γάρ κοινόν.
ἐλινύων Ἀττικοί, ἀναπαυόμενος Ἕλληνες.
ἐπισκῆψαι Ἀττικοί, ἐντείλασθαι Ἕλληνες.
ἐκπλήγνυσθαι ἀντὶ τοῦ ἐκπλήττεσθαι Θουκυδίδης.
ἐπιπολῆς τὸ ἐπάνω Ἀττικοί.
ἐπίςω Ἀττικοί, ἐπίςασο Ἕλληνες.
ἐπηλυγαζόμενος Ἀττικοί, ἐπισκιαζόμενος Ἕλληνες.
ἐπιτηδείους οὐχ ὥσπερ ἐν τοῖς Ὑπομνήμασιν, μόνους τοὺς ἐκ γένους προσήκοντας, ἀλλὰ καὶ τοὺς ἑταίρους, ὡς Πλάτων Φαίδωνι.
ἔπιον οἴνου, οὐχὶ οἶνον, Ἀττικοί.
ἔφαγον κρέως, οὐ κρέας, Ἀττικοί.
εἰκοςολόγον τὸν εἰκοςώνην, ὡς Ἀριςοφάνης ἐν Βατράχοις.
ἐντρίβεσθαι τὸ ὑπογράφεσθαι καὶ ψιμυθοῦσθαι Ἀττικοί.
ἐξενώθησαν Ἀττικοί, ὡς Πλάτων Νόμων α', ἐξενίσθησαν καὶ ἐπεξενώθησαν Ἕλληνες.
ζεύγνυμι Ἀττικοί, ζευγνύω Ἕλληνες.
ζῶμα Ἀττικοί, ζῶσμα Ἕλληνες.
ζηλῶ Ἀττικοί, ζηλοτυπῶ Ἕλληνες.
ζήλωσις Ἀττικοί, μίμησις Ἕλληνες.
ζηλῶ Ἀττικοί, μακαρίζω Ἕλληνες.
ζωνίον τὸ γυναικεῖον Ἀττικοί, ζώνη ἡ τοῦ ἀνδρός.
ζωπυρεῖν Ἀττικοί, ἐξάπτειν Ἕλληνες.
ζευγνῦσιν Ἀττικοὶ πληθυντικῶς καὶ προπερισπωμένως, ζευγνύουσιν Ἕλληνες. τὸ δὲ ζευγνύασιν τῆς δευτέρας Ἀτθίδος.
ζώσαντες ἀντὶ τοῦ ζήσαντες Πλάτων Νόμων β'.
ᾔδεισθα Ἀττικοί, ᾔδεις Ἕλληνες.
ἦν Ἀττικοί, ἤμην Ἕλληνες.
ᾔδη Ἀττικοί, ᾔδειν Ἕλληνες.
ἦσθα Ἀττικοί, ἦς Ἕλληνες.

1. ἐρεγμίαν P. 2. ἐρισχηλης P. 12. ἐπ$\overset{η}{ι}$λυγαζόμενος P. 13. ἐκ γένους] ἀγγέλους P. 25. μακαρίσω P. 28. προπερισπ.] περισπωμένως: ἕλληνες P. 31. οἱ ἕλληνες P.

ἤμελλον ἠβουλόμην ἠδυνάμην ηὐξάμην διὰ τοῦ η· διὰ δὲ τοῦ ε Ἕλληνες.

ἤρεσέ με Ἀττικοί, ἤρεσέ μοι κοινόν.

ἠχὴ Ἀττικοί, ἦχος Ἕλληνες.

ἠνέσχετο Ἀττικοί, ἀνέσχετο Ἕλληνες.

ἥρω χωρὶς τοῦ ι Ἀττικοί, ὡς Ὅμηρος "ἥρω Δημοδόκῳ," ἥρωι μετὰ τοῦ ι Ἕλληνες.

ἧττω Ἀττικοί, ἥσσονα κοινόν.

ἡδῦναι Ἀττικοί, ἀρτῦσαι Ἕλληνες.

ἤνυστρα Ἀττικοί, χορδαὶ ἢ αἱ κοιλίαι τῶν βοῶν Ἕλληνες.

ἥλω καὶ ἑάλω Ἀττικοί, ἐλήφθη Ἕλληνες.

ἦτρον τὸν ὑπὸ τῷ ὀμφαλῷ τόπον Ἀττικοί, ὑπογάστριον Ἕλληνες.

ἡμεδαπός Ἀττικοί, ἐπιχώριος Ἕλληνες.

ἥνυσα δασέως Ἀττικοί, ψιλῶς δὲ Ἕλληνες.

ἡμωδίαν ἐπὶ τῶν ὀδόντων διὰ τοῦ η Ἀττικοί, αἱμωδίαν Ἕλληνες.

ἠλίθιον Ἀττικοί, εἰκαῖον ἀνόητον Ἕλληνες.

ἡβᾶν Ἀττικοί, ἀκμάζειν Ἕλληνες. ἡβάσκειν δὲ ἐπὶ τῶν παίδων τῶν ἀρχομένων ἡβᾶν ὡς ἐπὶ τὸ πλεῖστον Ἀττικοί.

ᾔκασα Ἀττικοί, εἴκασα Ἕλληνες.

ἡρπάσθη Ἀττικοί, ἡρπάγη Ἕλληνες.

ἠδύνω ἠπίστω Ἀττικοί, ἐδύνασο ἐπίστασο Ἕλληνες.

ἠπίαλον τὸ πρὸ τοῦ πυρετοῦ ψῦχος.

θαμά Ἀττικοί, πυκνῶς Ἕλληνες.

θαμινά Ἀττικοί, πυκνά Ἕλληνες.

θερόμενος Ἀττικοί, θερμαινόμενος Ἕλληνες.

Θαλῆς περισπωμένως Ἀττικοί, βαρυτόνως Ἕλληνες.

Θαλοῦ τὴν γενικὴν Ἀττικοί, Θάλητος Ἕλληνες.

θοίνη Ἀττικοί, θοῖνα Ἕλληνες.

θηράσεται Ἀττικοί, θηράσει Ἕλληνες.

θοἰμάτιον Ἀττικοί, τὸ ἱμάτιον Ἕλληνες.

θεωροὶ οἱ τὰς θυσίας ἀπάγοντες εἰς τὰ κοινὰ ἱερὰ καὶ τὰ μαντεῖα Ἀττικοί, θεαταὶ ἢ συνθῦται Ἕλληνες.

θύραζε Ἀττικοί, ἔξω Ἕλληνες.

θεμέλια καὶ θεμέλιον οὐδετέρως Ἀττικοί.

15. αἱμ.] ἀμμωδίαν P. 17. παίδων δια τοῦ η τῶν P. 27. θάλατος P.
29. θηράσαι (ει supra) P. 30. τὸ om P. 32. οἱ Ἕλληνες P.

θρυαλλίδα Ἀττικοί, ἐλλύχνιον Ἕλληνες. ϗ Ἡρόδοτος κέχρηται.

θιασῶται διὰ τοῦ ω Ἀττικοί, θιασῖται Ἕλληνες.

θράττει Ἀττικοί, ταράσσει Ἕλληνες.

θρεκτικός Ἀττικοί, τροχαστικός Ἕλληνες.

θαυμάσιον Ἀττικοί, θαυμαστόν Ἕλληνες.

Θηρίκλειον ἀπὸ τοῦ τεχνίτου προσηγορεύθη, ὡς Εὔβουλος "καθαρώτερον γοῦν τὸν κέραμον εἰργαζόμην ἢ Θηρικλῆς τἀκπώματα."

θάρρος Ἀττικοί, θάρσος Ἕλληνες.

θηλάστριαν τὴν τῶν τροφῶν τῶν παίδων τὴν θηλήν.

θωμόν Ἀττικοί, ὡς Ἀριστοφάνης Βαβυλωνίοις, θημῶνα Ἕλληνες.

ἰάλεμος Ἀττικοί. σημαίνει δὲ τὸν θρῆνον ϗ τὸν ψυχρὸν ἄνθρωπον.

ἶκταρ. Πλάτων Πολιτείᾳ "οὐδὲ ἶκταρ," ὅπερ ἐστὶν οὐδὲ ἐγγὺς ἢ βραχέα.

ἱερεία μακρῶς τὴν τελευταίαν ϗ ὀξυτόνως τὴν παραλήγουσαν Ἀττικοί, ἱέρεια βραχέως τὴν ἐσχάτην ϗ βαρυτόνως τὴν παρατέλευτον Ἕλληνες.

ἱππέα ἁλιέα βασιλέα μακρῶς Ἀττικοί.

ἱερεῖον Ἀττικοί, θῦμα Ἕλληνες.

ἰσχίον τὸ κοῖλον τοῦ γλουτοῦ, ἐν ᾧ ἡ κοτύλη στρέφεται, Ἀττικοί. οἱ δὲ Ἕλληνες τὰ νῶτα ἰσχία.

ἴσθμιον Ἀττικοί, περιστόμιον ἢ φρεάτιον Ἕλληνες.

ἱμονιάν Ἀττικοὶ λέγουσι ϗ τὸ καλώδιον.

ἰλιγγιᾶν ἀντὶ τοῦ στροβεῖσθαι ἢ περιφέρεσθαι Ἕλληνες.

ἴσχειν Ἀττικοί, ἔχειν Ἕλληνες.

ἰάλεμον τὸν ἔκλυτον Ἕλληνες.

ἰσοτελής ὁ ξένος ὁ μετέχων τῶν νόμων ϗ τῶν πραττομένων πάντων πλὴν ἀρχῆς. μέτοχος Ἕλληνες.

ἰσότης ὡς ἀρότης Ἀττικοί, ἰσοτής ὡς βραβευτής Ἕλληνες.

ἱδρῶ Ἀττικοί, ἱδρῶτα Ἕλληνες.

ἰδιόξενος ὁ μὴ δημοσίᾳ προσκείμενος πόλεώς τινος ἀλλ' ἰδίᾳ ξένος.

